B: *καὶ ἄλλαι θεῶν τε καὶ δαιμόνων καὶ ἡρώων θεραπεῖαι.* X. 605. D. Hipp. mai. 285. D: *περὶ τῶν γενῶν ... τῶν τε ἡρώων καὶ τῶν ἀνθρώπων.* 293. B. al. Legg. IV. 717. B: *ἥρωσι ... μετὰ τούτους (τοὺς δαίμονας).* IX. 853. C: *θεῶν παισὶ ... τοῖς ἥρωσιν.* Hipp. mai. 293. B. Crat. 397. D: *δαίμονάς τε καὶ ἥρωας καὶ ἀνθρώπους.* 398. D: *ἤτοι τοῦτο λέγει τοὺς ἥρωας, ἢ ὅτι σοφοὶ ἦσαν καὶ ῥήτορες δεινοὶ καὶ διαλεκτικοί, ἐρωτᾶν ἱκανοὶ ὄντες.* Legg. VII. 801. E. Apol. 28. A.

ἡσυχάζω, *sedo.* Pol. IX. 572. A: *ἡσυχάσας μὲν τὼ δύο εἴδη, τὸ τρίτον δὲ κινήσας.* Neutr. *quiesco.* Crat. 421. B: *τὸ ἀναγκαζόμενον ἡσυχάζειν.* Parm. 162. E: *τὸ δὲ ἡσυχάζον ἑστάναι (ἀνάγκη).*

ἡσυχαῖος, α, ον, *tranquillus, placidus.* Legg. VI. 775. C: *ἀπλανὲς ἡσυχαῖόν τε ... ξυνίστασθαι τὸ φυόμενον (δεῖ).* Polit. 307. A: *ἡσυχαῖά πού φαμεν ἑκάστοτε καὶ σωφρονικά.*

ἡσυχῇ, *quiete, placide.* Phaed. 115. C: *γελάσας ... ἡσυχῇ.* Legg. VII. 797. B: *ἐᾷ καὶ τὰ σπουδῇ κείμενα νόμιμα μένειν ἡσυχῇ.* Hipp. mai. 298. C: *ἔχ' ἡσυχῇ.* **paulatim, lente.* Charm. 159. B: *ἡσυχῇ ἔν τε ταῖς ὁδοῖς βαδίζειν καὶ διαλέγεσθαι* cet. C: *πότερον ... κάλλιστον ... τὰ ὅμοια γράμματα γράφειν ταχύ, ἢ ἡσυχῇ;* Ib. *καὶ τὸ παλαίειν ὀξέως πολὺ κάλλιον τοῦ ἡσυχῇ τε καὶ βραδέως.* D: *τὰ δὲ βραδέως, μόγις τε καὶ ἡσυχῇ (γιγνόμενα) τὰ τοῦ αἰσχροῦ (ἐστί).* E: *ἡσυχῇ καὶ βραδέως (μανθάνειν).* Ib. *διδάσκειν δὲ ἄλλον οὐ ταχέως κάλλιον καὶ σφόδρα μᾶλλον ἢ ἡσυχῇ τε καὶ βραδέως;* 160. C: *τὸ ἡσυχῇ πράττειν* (oppos. *τὸ σφόδρα τε καὶ ταχέως*).

ἡσυχία, ἡ, *quies, tranquillitas* vel *tranquillum.* Theaet. 153. A: (*ὅτι*) *τὸ ... μὴ εἶναι καὶ ἀπόλλυσθαι ἡσυχία (παρέχει).* Pol. VIII. 566. E: (*ὅταν*) *ἡσυχία ἐκείνων γένηται.* IX. 583. E: *ἡ τῆς ἡδονῆς ἡσυχία λυπηρὸν ἔσται.* 584. A. Tim. 45. E: *ἡσυχία γίγνεται.* Charm. 160. A: *ἡ δ' ἀγχίνοια οὐχὶ ὀξύτης τίς ἐστι τῆς ψυχῆς, ἀλλ' οὐχὶ ἡσυχία;* Lys. 207. A: *ἦν γὰρ αὐτόθι ἡσυχία.* Theaet. 153. B: *ἡ τῶν σωμάτων ἕξις οὐχ ὑπὸ ἡσυχίας ... καὶ ἀργίας διόλλυται —;* 180. A: *πρὸς τὸ μηδὲ σμικρὸν ἐνεῖναι τοῖς ἀνδράσιν ἡσυχίας.* Pol. VI. 503. C: *κοσμίως μετὰ ἡσυχίας ... ζῆν.* Menex. 243. D: *ἡσυχίας γενομένης καὶ εἰρήνης πρὸς τοὺς ἄλλους.* Phaedr. 229. A: *εἶτα ... ἐν ἡσυχίᾳ καθιζησόμεθα.* Pol. IX. 575. B: *ἐὰν δ' ἐν εἰρήνῃ τε καὶ ἡσυχίᾳ γένωνται.* Ax. 370. D: *ἀσαλεύτῳ ἡσυχίᾳ εὐδιαζόμενος (βίος).* Pol. IX. 583. C: *ἡσυχίαν τινὰ ... τῆς ψυχῆς (εἶναι).* D: *τὴν ἡσυχίαν τοῦ τοιούτου (τοῦ λυπεῖσθαι) ἐγκωμιάζουσιν ὡς ἥδιστον.* Tim. 70. E: *καθ' ἡσυχίαν.* 71. C. Legg. VII. 790. D: *οὐχ ἡσυχίαν αὐτοῖς προσφέρουσιν, ἀλλὰ τοὐναντίον κίνησιν.* 791. A: *γαλήνην ἡσυχίαν τε ἐν τῇ ψυχῇ φαίνεται ἀπεργασαμένη τῆς ... πηδήσεως.* 816. A. Cum vv. *ἔχειν* et *ἄγειν.* Prot. 356. E: *ἡσυχίαν ἂν ἐποίησεν ἔχειν τὴν ψυχήν.* Gorg. 493. E: *ἀλλ' ἕνεκα*

τούτων ἡσυχίαν ἔχοι. Pol. VI. 496. D: ἡσυχίαν ἔχων. Alc. II. 150. C. Phaed. 117. E: ἀλλ' ἡσυχίαν τε ἄγετε καὶ καρτερεῖτε. Polit. 294. B. Parm. 139. B. Conv. 190. D: (ἐὰν) μὴ ἐθέλωσιν ἡσυχίαν ἄγειν. Pol. I. 336. B: οὐκέτι ἡσυχίαν ἦγεν. X. 604. B: ἡσυχίαν ἄγειν ἐν ταῖς ξυμφοραῖς. 605. D: ἡσυχίαν ἄγειν καὶ καρτερεῖν. Tim. 19. B: ἡσυχίαν ... ἄγοντα (ζῶα). 27. A. 89. A. E: τῶν ἑαυτοῦ κινήσεων ἡσυχίαν ἄγον. Legg. II. 652. D. Apol. 36. B: ὅτι μαθὼν ἐν τῷ βίῳ οὐχ ἡσυχίαν ἦγον. 37. E. Crit. 48. D. Menex. 244. B: ἡσυχίαν ἦγεν ἡ πόλις. Clit. 408. A: τὸ ἄγειν ἡσυχίαν τῇ ψυχῇ καὶ μὴ ζῆν. Ep. II. 312. C: μὴ τιμώμενος δὲ ἡσυχίαν ἄξω. Theaet. 153. C: ὅτι αἱ ... ἡσυχίαι σήπουσι καὶ ἀπολλύασι.

ἡσύχιος, ὁ ἡ, *quietus*, *placidus*; etiam *lentus* (vern. *bedächtig*). Charm. 160. B: οὐδ' ὁ ἡσύχιος ὁ σώφρων βίος. D. 159. D: οὐ τὸ ἡσύχιον, ἀλλὰ τὸ τάχιστον καὶ ὀξύτατον. 160. D: τοῦ μὴ ἡσυχίου (βίου). Pol. X. 604. E: τὸ ... φρόνιμόν τε καὶ ἡσύχιον ἦθος ... οὔτε ῥᾴδιον μιμήσασθαι cet. Charm. 160. C: αἱ ἡσύχιοι πράξεις. D: καλὰ ... οὐχ ἧττον τὰ ταχέα τῶν ἡσυχίων πέφανται. 159. B: τοὺς ἡσυχίους σώφρονας εἶναι.

ἡσυχιότης, ἡ, *lentitudo* (vern. *Bedachtsamkeit*). Charm. 159. B: καί μοι δοκεῖ ... συλλήβδην ἡσυχιότης τις εἶναι ὃ ἐρωτᾷς. D: οὐ τοίνυν κατά γε τὸ σῶμα ἡ ἡσυχιότης ἄν, ἀλλ' ἡ ταχυτὴς σωφρονέστερον εἴη. 160. B. Ib. τὰ τῆς βραδυτῆτός τε καὶ ἡσυχιότητος.

ἡσυχίως, *sedate*, *placide*. Theaet. 179. E: ἡσυχίως ἐν μέρει ἀποκρίνασθαι καὶ ἐρέσθαι.

ἥσυχος, ὁ ἡ, i. q. ἡσύχιος. Polit. 307. E: οἱ ... διαφερόντως ὄντες κόσμιοι τὸν ἥσυχον ἀεὶ βίον ἕτοιμοι ζῆν. 264. B: οὐχ ἡσύχους εὖ διαιροῦντας ἠνυκέναι βραδύτερον. Phil. 24. C: ἀεὶ σφοδρότερον ἡσυχαιτέρου ... ἑκάσταις πράξεσιν ἐμποιοῦντε. Charm. 160. A: οὐχ ὁ ἡσυχώτατος ... καὶ μόγις βουλευόμενός τε καὶ ἀνευρίσκων ἐπαίνου δοκεῖ ἄξιος εἶναι, ἀλλ' ὁ ῥᾷστά τε καὶ τάχιστα τοῦτο δρῶν.

ἡσύχως, *modice*. Eryx. 405. E: εἰ ὁ μὲν τυγχάνοι σφόδρα τε καὶ πολλῶν ἐν ἐπιθυμίᾳ τε καὶ δεήσει ὤν, ὁ δὲ ὀλίγων τε καὶ ἡσύχως. Charm. 160. A: οὐχ ὡς ἡσυχαίτατα, ἀλλ' ὡς τάχιστα.

ἤτοι, *aut certe* (vern. *oder doch*). Pol. I. 344. E: ἔοικας, ἦν δ' ἐγώ· ἤτοι ἡμῶν γε οὐδὲν κήδεσθαι cet. III. 400. C: ἤτοι ξυναμφότερόν τι. IV. 433. A: τοῦτό ἐστιν ... ἤτοι τούτου τι εἶδος ἡ δικαιοσύνη. — Sq. ἤ est *aut - aut*, *sive - sive*. Prot. 339. D: ὥστε ἤτοι τὸ πρότερον ἢ ὕστερον οὐκ ὀρθῶς λέγει. Phaedr. 242. B: ἤτοι αὐτὸν λέγοντα ἢ ἄλλους ... προσαναγκάζοντα. Gorg. 460. A: ἤτοι πρότερόν γε ἢ ὕστερον μαθόντα παρὰ σοῦ. 467. E: ὃ οὐχὶ ἤτοι ἀγαθόν γ' ἐστὶν ἢ κακὸν ἢ μεταξὺ τούτων. 475. A: ἤτοι ἡδονῇ ἢ

ὠφελείᾳ ἢ ἀμφοτέροις. 478. B. Phaed. 68. C: ἤτοι τὰ ἕτερα τούτων ἢ καὶ ἀμφότερα. Parm. 131. A. Pol. I. 330. E. IV. 437. C. V. 453. D. Legg. X. 898. C. Apol. 27. C. Men. 85. D.

ἦτορ, τό, *cor*, *animus*. Pol. III. 388. C. (Hom.).

ἠτρίον, τό, *textum* (rarum atque tenue). Phaedr. 268. A: εἰ ἄρα καὶ σοὶ φαίνεται διεστηκὸς αὐτῶν τὸ ἠτρίον.

ἦτρον, τό, *venter*. Phaed. 118. A: τὰ περὶ τὸ ἦτρον.

ἧττα, ἡ, *clades*. Lach. 196. A: εἴτε νίκη εἴθ' ἧττα ἢ πολέμου ἢ καὶ ἄλλης τινὸς ἀγωνίας. Menex. 247. A: ἡ δὲ ἧττα, ἐὰν ἡττώμεθα, εὐδαιμονίαν (ἡμῖν φέρει). Pol. III. 386. B: οἴει τινὰ ... ἐν ταῖς μάχαις αἱρήσεσθαι πρὸ ἥττης τε καὶ δουλείας θάνατον: Legg. I. 638. A: νίκην τε καὶ ἧτταν λέγοντες μάχης. B: νίκας ... καὶ ἥττας. — C. genit. est etiam Lat. *succumbere* vel *indulgere*. Legg. I. 648. E: τὴν πάντων ἧτταν φοβούμενος ἀνθρώπων τοῦ πώματος. IX. 869. E: δι' ἥττας ἡδονῶν τε καὶ ἐπιθυμιῶν καὶ φθόνων. X. 902. A: διά τινας ἥττας ἡδονῶν ἢ λυπῶν.

ἧττον, *minus*. Prot. 356. A: καὶ μᾶλλον καὶ ἧττον. Phil. 24. A: τὸ μᾶλλόν τε καὶ ἧττον. Gorg. 524. B: οὐ πολὺ ἧττον ἑκάτερον αὐτοῖν ἔχει τὴν ἕξιν τὴν αὑτοῦ. Theaet. 179. E: τὸ ... ἐπιμεῖναι τῷ λόγῳ ... ἧττον αὐτοῖς ἔνι ἢ τὸ μηδέν. Phaed. 72. A: οὐδὲν ἧττον ἢ cet. 73. B: οὐδὲν μέντ' ἂν ἧττον ἀκούοιμι νῦν σὺ πῇ ἐπεχείρησας λέγειν. Theaet. 174. D: οὐδὲν ἧττον τῶν νομέων. Soph. 227. A: οὐδὲν ἧττον οὐδέ τι μᾶλλον τυγχάνει μέλον. Tim. 39. D. Polit. 275. C: ζητητέοι ... οὐδὲν ἂν εἴησαν οὐθ' ἧττον οὔτε μᾶλλον. 287. C: τὸ δ' αἴτιον ... οὐχ ἧττον ἔσται καταφανές. Conv. 177. B: τοῦτο μὲν ἧττον καὶ θαυμαστόν. Crat. 413. A: ἐπειδὰν ... αὐτοὺς ἐπανερωτῶ ἀκούσας τοῦτο μηδὲν ἧττον (*nihilo minus*). 432. E: μηδὲν ἧττον ὀνομάζεσθαι τὸ πρᾶγμα. Pol. I. 336. C: ἧττόν τι αὐτὸν οἴει ἀποκρινεῖσθαι τὸ φαινόμενον ἑαυτῷ —; Cum genit. Phaedr. 237. B: ὃς οὐδενὸς ἧττον ἐρῶν ἐπεπείκει τὸν παῖδα ὡς οὐκ ἐρῴη. Tim. 48. D: πειράσομαι μηδενὸς ἧττον εἰκότα ... λέγειν. Men. 85. C: οἶσθ' ὅτι τελευτῶν οὐδενὸς ἧττον ἀκριβῶς ἐπιστήσεται περὶ τούτων.

ἡττῶμαι, *superor* vel *vincor*; hinc *succumbo*, *cedo* vel *resistere nequeo*; etiam *convincor*, *causa cado*. Phil. 12. A: ἡ δὲ (ἡδονὴ) ἡττᾶται. Pol. VIII. 555. A. Charm. 175. B: νῦν δὲ πανταχῇ γὰρ ἡττώμεθα. Phil. 11. D: μῶν οὐκ ... ἡττώμεθα ... τοῦ ταῦτ' ἔχοντος βεβαίως βίου —; Legg. XII. 955. B: ἐάν τε ἡττᾶται ἀγωνιζόμενος ἐάν τε καὶ νικᾷ. Menex. 247. A: ἐὰν ἡττώμεθα. Legg. I. 627. B: ὅπου δ' ἂν ἡττῶνται. Prot. 353. A: ὑπὸ τῶν ἡδονῶν ἡττᾶσθαι. Legg. I. 626. E: τὸ ... ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ. III. 685. E: ἡττᾶσθαι δ' ὑπὸ τούτων ἐκείνους. Eryx. 395. B: δύναιτ' ἂν τοὺς ἀντιπαίζοντας ποιεῖν ἡττᾶσθαι οὕτως ὥστε cet. Prot. 355. B: ὑπὸ τούτων (τῶν ἡδονῶν) ἡττώμενος. C. D.

Phaedr. 233. C: οὐχ ὑπ' ἔρωτος ἡττώμενος. Pol. V. 455. D: οὗ καὶ καταγελαστότατόν ἐστι πάντων ἡττώμενον (τὸ γυναικεῖον γένος). Tim. 48. A: δι' ἀνάγκης ἡττωμένης ὑπὸ πειθοῦς ἔμφρονος. Legg. VII. 822. B: τὸν ἡττώμενον. X. 904. B: νικῶσαν ἀρετήν, ἡττωμένην δὲ κακίαν. I. 635. D: ταὐτὸν πείσονται τοῖς ἡττωμένοις τῶν φόβων. Prot. 352. D: ὑπὸ ἡδονῆς ... ἡττωμένους ἢ λυπῆς. Legg. VIII. 840. C. Euthyd. 300. D: ἀπώλωλέ τε καὶ ἥττηται. Ep. VII. 351. A: ὑπὸ δειλίας τῆς πρὸς τὰς ἡδονὰς ἡττημένος. Legg. I. 650. A: ἢ πρὸς τἀφροδίσια ἡττημένης τινὸς ψυχῆς βάσανον λαμβάνειν. Conv. 216. B: ἡττημένῳ τῆς τιμῆς τῆς ὑπὸ τῶν πολλῶν. Soph. 239. B: ἡττημένον (ἐμὲ) ἂν εὕροι περὶ τὸν τοῦ μὴ ὄντος ἔλεγχον. Phaed. 89. A: ὥσπερ πεφευγότας καὶ ἡττημένους. Ep. VII. 333. D: διαμαχόμενος δὲ τοῖς διαβάλλουσιν ἡττήθην. Theaet. 148. C: εἶτα διαθέων τοῦ ἀκμάζοντος ... ἡττήθης. Menex. 243. D: ἡμεῖς δὲ ἡμᾶς αὐτοὺς καὶ ἐνικήσαμεν καὶ ἡττήθημεν. Legg. XI. 936. E: ἐὰν δὲ ἡττηθῇ. XII. 956. B: ἂν ἡττηθῇ τὸ δεύτερον. D. Phil. 62. C: ἡττηθείς. Legg. IX. 868. A. 880. C: ὁ ... τὴν τοιαύτην δίκην ἡττηθείς. XII. 956. D. Polit. 305. C: μήθ' ὑπό τινος ἄλλης ἔχθρας μηδὲ φιλίας ἡττηθεῖσα. Legg. XI. 926. D: τῷ ... ἡττηθέντι. VIII. 843. B: ἀποτίνειν τὸν ἡττηθέντα. Lys. 223. B: ἡττηθέντες ... αὐτῶν. Legg. IV. 715. A: τοῖς ἡττηθεῖσι. Ep. VII. 337. A.

ἥττων, ὁ ἡ, *minor; inferior; imbecillior; deterior; succumbens, cedens, deditus.* Prot. 316. D: οὐδενὸς ἥττων σοφιστής. Pol. IV. 430. A: ὁ γὰρ ἑαυτοῦ κρείττων καὶ ἥττων δήπου ἂν αὑτοῦ εἴη καὶ ὁ ἥττων κρείττων. Legg. I. 626. E: ἐπειδὴ ... εἷς ἕκαστος ἡμῶν ὁ μὲν κρείττων αὑτοῦ, ὁ δὲ ἥττων ἐστί. IX. 863. D. Men. 75. C: ὅτι εἰμὶ ἥττων τῶν καλῶν. Euthyd. 297. B. Legg. I. 627. C: ὅτι ... ἡ ξυγγένεια αὕτη πᾶσα ἥττων αὑτῆς λέγοιτ' ἄν. Tim. 57. A: ἕως δ' ἂν ... ἧττον ὂν κρείττονι μάχηται. Gorg. 483. D: τὸν κρείττω τοῦ ἥττονος ἄρχειν. Pol. I. 342. C: τὸ τοῦ ἥττονός τε καὶ ἀρχομένου ὑφ' ἑαυτῆς (ξυμφέρον σκοπεῖ). 346. E. Menex. 244. E: ὡς ... τοῦ ἥττονος θεραπίς (ἐστι). Pol. I. 340. B: τοῦτο ποιητέον εἶναι τῷ ἥττονι. 341. B. Prot. 353. C: ἥττω εἶναι τῶν ἡδονῶν. 354. E. 358. C: τὸ ἥττω εἶναι αὑτοῦ. Pol. IV. 431. B. Phaedr. 239. A: ἥττω δὲ καὶ ὑποδεέστερον ἀεὶ ἀπεργάζεται. Legg. I. 633. E: τὸν τῶν λυπῶν ἥττω. Ib. τοῦτον τὸν ἐπονειδίστως ἥττονα ἑαυτοῦ. 645. B. Apol. 18. B: τὸν ἥττω λόγον κρείττω ποιεῖν. Alc. I. 104. E: πρὸς ἄνδρα οὔχ ἥττονα ἐραστῶν. Legg. I. 627. A: τὸ κρείττω τε αὑτῆς εἶναι λέγεις τινά (πόλιν), τὴν δ' ἥττω; 633. D. Euthyd. 306. C: ἀμφοτέρων ἥττους εἰσὶ πρὸς ἑκάτερον. Conv. 197. C: εἰ δὲ ἥττους (ἡδοναί), κρατοῖντ' ἂν ὑπ' Ἔρωτος. Legg. V. 726. A: τὰ δ' ἥττω καὶ χείρω δοῦλα. Gorg. 484. C: τὰ τῶν χειρόνων τε καὶ ἡττόνων. Pol. I. 338. D:

ἡμῖν τοῖς ἥττοσιν ἐκείνου. 339. E. Tim. 77. A: οἱ κρείττους τοῖς ἥττοσιν ἡμῖν. Pol. I. 340. B: τοὺς ἥττους τε καὶ ἀρχομένους. Legg. VIII. 841. B: οὓς ἥττους αὐτῶν προσαγορεύομεν. De lucri cup. 225. A: ἥττους τοῦ κέρδους. Ep. VII. 337. C: ἂν ... οἱ νενικηκότες ἥττους αὑτοὺς τῶν νόμων μᾶλλον τῶν νενικημένων παρέχωνται.

ἠΰτε, *sicut*. Pol. III. 386. E. (Hom.).

ἠχή, ἡ, *sonus*. Crit. 54. D: καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ. Tim. 37. B: ἄνευ φθόγγου καὶ ἠχῆς. Pol. VII. 531. A: οἱ μέν φασιν ἔτι κατακούειν ἐν μέσῳ τινὰ ἠχήν.

ἠχώ, ἡ, *echo*. Phaedr. 255. C: οἷον πνεῦμα ἤ τις ἠχὼ ἀπὸ λείων τε καὶ στερεῶν ἁλλομένη πάλιν ὅθεν ὡρμήθη φέρεται. Pol. VII. 515. B: εἰ καὶ ἠχὼ τὸ δεσμωτήριον ἐκ τοῦ καταντικρὺ ἔχοι.

ἠχῶ, *sono*. Prot. 329. A: ὥσπερ τὰ χαλκεῖα πληγέντα μακρὸν ἠχεῖ καὶ ἀποτείνει.

ἠώς, ἡ, *diluculum*. Def. 411. A: ἀπ' ἠοῦς μέχρι δείλης. Hipp. min. 371. B: ἅμα τῇ ἠοῖ ἀποπλευσεῖσθαι.

Θ.

θῆτα, τό. Theaet. 207. E: ὅταν ... Θεαίτητον γράφων τις θῆτα καὶ εἶ οἴηταί τε δεῖν γράφειν καὶ γράψῃ.

θᾶκος, ὁ, *sedes*. Polit. 288. A: θᾶκος (v. θάκος) ἀεί τινι γιγνόμενον. Pol. VII. 516. E: εἰ πάλιν ὁ τοιοῦτος καταβὰς εἰς τὸν αὐτὸν θᾶκον (v. θῶκον, al. θάκον) καθίζοιτο.

θάλαττα, ἡ, *mare* (praec. *mediterraneum*). Pol. II. 363. C: θάλασσα (Hom.). Phaed. 113. A: λίμνην ... μείζω τῆς παρ' ἡμῖν θαλάττης. Soph. 234. A: θαλάττης καὶ γῆς cet. Polit. 298. D: ἀνέμων καὶ θαλάττης πέρι. Pol. I. 332. E: πρὸς τὸν τῆς θαλάττης κίνδυνον. Tim. 25. D: κατὰ τῆς θαλάσσης (codd. aliquot θαλάττης) δῦσα. Critia 110. E: πρὸς θαλάττης (v. θαλάττῃ). 113. C: πρὸς θαλάττης (v. θαλάττῃ) ... πεδίον ἦν. 118. A: ἀπότομος ἐκ θαλάττης. Menex. 239. E: τῆς τε θαλάττης ἐκράτει καὶ τῶν νήσων. Euthyd. 279. E: πρὸς τοὺς τῆς θαλάττης (v. θαλάσσης) κινδύνους. Pol. I. 346. B: πλεῖν ἐν τῇ θαλάττῃ. III. 404. C. VII. 529. C. Tim. 22. D: τῶν ποταμοῖς καὶ θαλάττῃ προσοικούντων. Legg. III. 677. C: πόλεις ... πρὸς θαλάττῃ κατοικούσας. 682. C. Hipp. mai. 295. D: τὰ ὀχήματα τά τε πεζὰ καὶ τὰ ἐν τῇ θαλάττῃ. Ion. 540. B. Gorg. 511. E: παρὰ τὴν θάλατταν ... περιπατεῖ. Phaed. 109. B: περὶ τὴν θάλατταν οἰκοῦντας (ἡμᾶς). 111. A. Soph. 222. A. Polit. 289. E: κατὰ θάλατταν (*mari*) καὶ πεζῇ. Pol. II. 371.

A: *ἐὰν ... κατὰ θάλατταν ἡ ἐμπορία γίγνηται.* B: *τῶν ἐπιστημόνων τῆς περὶ τὴν θάλατταν* (edd. c. codd. aliquot *θάλασσαν*) *ἐργασίας.* III. 396. E: *θάλατταν κτυποῦσαν.* Tim. 22. E: *εἰς τὴν θάλατταν φέρονται.* Legg. III. 682. C. XII. 944. B. 952. E. Menex. 240. B: *ἐκ θαλάττης εἰς θάλατταν διαστάντες.* 241. A: *κατά τε γῆν καὶ κατὰ θάλατταν.* (Id. Alc. II. 148. D.). 245. B: *τῷ κατὰ θάλατταν πολέμῳ ἀπαγορεύοντας.* Phaed. 112. C: *θαλάττας τε καὶ λίμνας ... ποιεῖ.*

θαλάττιος, α, ον, marinus. Men. 80. A: *ὁμοιότατος ... ταύτῃ τῇ πλατείᾳ νάρκῃ τῇ θαλαττίᾳ.* Pol. X. 611. C: *οἱ τὸν θαλάττιον Γλαῦκον ὁρῶντες.* Phil. 21. C: *τῶν ὅσα θαλάττια μετ' ὀστρεΐνων ἔμψυχά ἐστι σωμάτων.* Euthyd. 298. D: *τῶν ἐχίνων ... τῶν θαλαττίων.*

θάλεια, ἡ, convivium. Pol. IX. 573. D: *ἑορταὶ ... καὶ κῶμοι καὶ θάλειαι* (sic Par. A. c. al. Vulgo *θαλίαι*).

θαλλός, ὁ, frutex. Phaedr. 230. D: *θαλλὸν ἤ τινα καρπὸν προσείοντες.* Praec. *frutex* vel *termes oleae.* Legg. XII. 943. C: *στέφανον δὲ τὸ νικητήριον ἑκάστοις εἶναι θαλλοῦ.* 946. B: *στεφανῶσαι θαλλῷ.*

θάλλω, vireo, pullulo. Crat. 414. A: *αὐτό γε τὸ θάλλειν τὴν αὔξην μοι δοκεῖ ἀπεικάζειν τῶν νέων.* Phaedr. 264. D: *τεθήλῃ* (epigr.). Crat. 414. A: *ὅτι τεθηλέναι ποιεῖ, ὥσπερ τὰ ἀρδόμενα.* Trop. *vigeo, floreo.* Conv. 203. E: *τοτὲ μὲν ... θάλλει καὶ ζῇ* cet. Legg. XII. 945. D: *ἡ πᾶσα οὕτω θάλλει τε καὶ εὐδαιμονεῖ χώρα καὶ πόλις.* Ep. V. 321. E. Tim. 77. D: *ἵνα οὗτος ... ὅτι μάλιστα θάλλοι.*

θάλπος, τό, aestus. Ax. 371. D: *οὔτε θάλπος ἐγγίγνεται.* 366. D: *ἢ περιψυγμὸν ἢ θάλπος ... ὀδυνᾶται.* 368. C.

θαμά, crebro, saepius. Prot. 309. B: *ἐπελανθανόμην ... αὐτοῦ θαμά.* Phaed. 72. E: *ὃν σὺ εἴωθας θαμὰ λέγειν.* 89. E: *θαμὰ προσκρούων.* Parm. 130. A: *θαμὰ εἰς ἀλλήλους βλέποντας.* Crat. 428. D. Pol. I. 330. E: *θαμὰ ἐγειρόμενος δειμαίνει.* Lys. 204. C. al.

θάμβος, τό, horror. Phaedr. 254. C: *ὑπ' αἰσχύνης τε καὶ θάμβους.*

θαμίζω, frequento, ventito. Hipp. mai. 281. B: *διὸ δὴ ... οὐ θαμίζω εἰς τούσδε τοὺς τόπους.* Pol. I. 328. C: *οὐδὲ θαμίζεις ἡμῖν καταβαίνων εἰς τὸν Πειραιᾶ.* Etiam in re ponitur *frequente*, h. e. *quae saepius obvenit* vel *repetitur.* Legg. VIII. 843. B: *βλάβαι πολλαὶ καὶ σμικραὶ γειτόνων γιγνόμεναι, διὰ τὸ θαμίζειν ἔχθρας ὄγκον μέγαν ἐντίκτουσαι, χαλεπὴν ... γειτονίαν ἀπεργάζονται.*

θάμνος, ὁ, fruticetum vel *frutices densi.* Pol. IV. 432. B: *θαμνὸν κύκλῳ περιίστασθαι.*

θανάσιμος, ὁ ἡ, letalis s. mortem afferens. Pol. X. 610. E: *τοῦ θανάσιμος εἶναι.* D. *εἰ θανάσιμος ἔσται* (*ἡ ἀδικία*) *τῷ λαμβάνοντι.* Legg. XI. 933. D: *βλάβη μὴ θανάσιμος.*

Pol. III. 406. B: *παρακολουθῶν ... τῷ νοσήματι θανασίμῳ ὄντι.* X. 610. C: *τὴν ἀδικίαν εἶναι θανάσιμον τῷ ἔχοντι, ὥσπερ νόσον.* Legg. XI. 932. E: *τὰ ... θανάσιμα.* Etiam in eo dicitur *qui prope abest a morte.* Pol. III. 408. C: *πλούσιον ἄνδρα θανάσιμον ἤδη ὄντα ἰάσασθαι.*

θανατηφόρος, ὁ ἡ, *mortifer.* Pol. X. 617. D: *ἀρχὴ ἄλλης περιόδου θνητοῦ γένους θανατηφόρου.*

θάνατος, ὁ, *mors*; etiam *caedes*, *occisio.* Prot. 325. B: *ἐφ' οἷς οὐκ ἔστι θάνατος ἡ ζημία.* Gorg. 524. B: *ὁ θάνατος ... δυοῖν πραγμάτων διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος, ἀπ' ἀλλήλοιν.* Phaed. 67. D: *οὐκοῦν τοῦτό γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος;* 91. D: *(μὴ) ἢ αὐτὸ τοῦτο θάνατος, ψυχῆς ὄλεθρος.* 106. B: *ὅταν θάνατος ἐπ' αὐτὴν (τὴν ψυχὴν) ἴῃ.* 107. C: *εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή* cet. Tim. 81. E. Ax. 369. B: *ὅτι ὁ θάνατος οὔτε περὶ τοὺς ζῶντάς ἐστιν οὔτε περὶ τοὺς μετηλλαχότας.* Gorg. 511. C: *σώζει ... ἐκ θανάτου τοὺς ἀνθρώπους.* Phaed. 64. B: *οἵου θανάτου (ἄξιοί εἰσι).* 71. E: *περὶ ζωῆς καὶ θανάτου.* 77. D: *ἐκ θανάτου καὶ τοῦ τεθνάναι.* 85. A: *διὰ τὸ αὑτῶν δέος τοῦ θανάτου.* 106. E: *ἐπιόντος θανάτου ἐπὶ τὸν ἄνθρωπον.* Theaet. 142. C: *ὀλίγον πρὸ τοῦ θανάτου.* Pol. II. 361. C: *μέχρι θανάτου.* VIII. 558. A. Tim. 41. B: *οὐδὲ τεύξεσθε θανάτου μοίρας.* Critia 120. D: *θανάτου* (*necis*) ... *τὸν βασιλέα τῶν ξυγγενῶν μηδενὸς εἶναι κύριον.* Ep. VIII. 356. D. E. Phaed. 58. E: *ὡς θανάτῳ παρόντα ... ἀνδρὸς ἐπιτηδείου.* Pol. VIII. 566. B: *βιαίῳ ... θανάτῳ ἐπιβουλεύουσιν ἀποκτιννύναι λάθρᾳ.* C: *θανάτῳ δίδοται.* Legg. IX. 871. D: *ὁ δὲ ὄφλων θανάτῳ ζημιούσθω.* Phaed. 68. D: *οἶσθα ... ὅτι τὸν θάνατον ἡγοῦνται πάντες οἱ ἄνθρωποι τῶν μεγίστων* (al. *μεγάλων*) *κακῶν εἶναι.* Ib. *ὑπομένουσι τὸν θάνατον.* 85. A: *θρηνοῦντας τὸν θάνατον.* 88. B: *θάνατον θαῤῥοῦντι.* Conv. 179. D: *ἐποίησαν τὸν θάνατον αὐτοῦ ὑπὸ γυναικῶν γενέσθαι.* Pol. III. 386. A: *οἷα αὐτοὺς ποιῆσαι ἥκιστα τὸν θάνατον δεδιέναι.* 406. B: *μακρὸν ... τὸν θάνατον αὑτῷ ποιήσας.* X. 620. A: *διὰ τὸν ὑπ' ἐκείνων θάνατον.* Legg. V. 735. E: *θάνατον ἢ φυγὴν τῇ τιμωρίᾳ τὸ τέλος ἐπιτιθείς.* IX. 863. A. al. Legg. X. 908. E: *οὐχ ἑνὸς οὐδὲ δυοῖν ἄξια θανάτοιν ἁμαρτάνον.* Theaet. 176. D: *πληγαί τε καὶ θάνατοι.* Phaed. 88. A: *τελευτῷσάν γε ἔν τινι τῶν θανάτων.* Pol. X. 615. B: *οἵτινες πολλῶν θανάτων ἦσαν αἴτιοι.* Tim. 81. E: *ἀπονώτατος τῶν θανάτων.* Legg. VI. 778. D: *ὅσα θανάτων ἄξια ἀδικήματα.* Ax. 368. D: *θανάτων μυρίων χείρω.* Ep. VII. 327. D. 351. C: *οὔτι δι' ὀλιγίστων θανάτων καὶ φυγῶν γιγνομένην.* Pol. VI. 492. D: *ὅτι τὸν μὴ πειθόμενον ἀτιμίαις ... καὶ θανάτοις κολάζουσι.* Legg. X. 904. E: *ἔν τε ζωῇ καὶ ἐν πᾶσι θανάτοις.* Pol. III. 399. A: *εἰς τραύματα ἢ εἰς θανάτους ἰόντος.* Legg. III. 682. D: *ὥστε*

θανάτους τε καὶ σφαγὰς καὶ φυγὰς γενέσθαι παμπόλλας. Crit. 46. C: δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα (ἡ τῶν πολλῶν δύναμις). Alc. I. 112. C. 115. B.

θανατῶ (άω), *mori cupio*. Ax. 366. C: ἐξ ἐκείνου θανατᾷ μου ἡ ψυχή. Phaed. 64. B: ὅτι τῷ ὄντι οἱ φιλοσοφοῦντες θανατῶσι.

θανατῶ, (όω), *interficio*. Legg. IX. 872. C: ὁ τῆς πόλεως κοινὸς δήμιος ... θανατωσάτω. 868. C: οἱ δὲ ... θανατωσάντων τὸν δράσαντα. 865. D: ὁ θανατωθεὶς ... βιαίως. 862. C: τὸ θανατωθὲν ἢ τρωθέν.

θάπτω, *sepelio*. Phaed. 115. C: θάπτωμεν δέ σε τίνα τρόπον; E: θάπτειν. Legg. IV. 719. D. IX. 873. D. XII. 959. C. De lege 315. D: ἔθαπτον ἐν τῇ οἰκίᾳ τοὺς ἀποθανόντας. Hipp. mai. 293. A: τοὺς ... γονέας θάψαι. B: θάψαντι τοὺς προγόνους. Legg. IX. 871. D: μὴ ἐν τῇ τοῦ παθόντος χώρᾳ θαπτέσθω. Pol. X. 614. C: μέλλων θάπτεσθαι. Legg. XII. 959. C: νομίζοντα τὸν αὐτοῦ τοῦτον εἶναι τὸν τῶν σαρκῶν ὄγκον θαπτόμενον. Phaedr. 264. D: τῇδε τέθαπται (epigr.). Crat. 400. C: ὡς τεθαμμένης (τῆς ψυχῆς) ἐν τῷ νῦν παρόντι. Hipp. mai. 291. E: καλῶς καὶ μεγαλοπρεπῶς ταφῆναι. 292. E. 293. A: ὑπὸ ... τῶν ἐκγόνων ταφῆναι. B.

θαῤῥαλέος, α, ον, *fidens*; *audens*. Legg. II. 671. C: τὸν εὔελπιν καὶ θαῤῥαλέον ἐκεῖνον γιγνόμενον. Phil. 32. C: τίθει ... τὸ μὲν πρὸ τῶν ἡδέων ἐλπιζόμενον ἡδὺ καὶ θαῤῥαλέον. Prot. 350. A: τίνες ... ἀπὸ τῶν ἵππων πολεμεῖν θαῤῥαλέοι εἰσί; C. Legg. I. 649. C: θαῤῥαλέοι ... καὶ θρασεῖς. Prot. 349. E: πότερον τοὺς ἀνδρείους θαῤῥαλέους λέγεις, ἢ ἄλλο τι; 359. B. Lach. 182. C: θαῤῥαλεώτερον καὶ ἀνδρειότερον. Prot. 350. C: θαῤῥαλεώτατοι. In eo quoque ponitur quod quis *audere*, igitur *sine timore subire potest*. Pol. V. 450. E: τἀληθῆ εἰδότα λέγειν ἀσφαλὲς καὶ θαῤῥαλέον. Legg. XII. 959. B: παρὰ θεοὺς ἄλλους ἀπιέναι δώσοντα λόγον ... τῷ μὲν ἀγαθῷ θαῤῥαλέον, τῷ δὲ κακῷ μάλα φοβερόν. Lach. 194. E: τὴν τῶν δεινῶν καὶ θαῤῥαλέων ἐπιστήμην. 196. D. 198. B. 199. B. Prot. 359. C: πότερον οἱ μὲν δειλοὶ ἐπὶ τὰ θαῤῥαλέα ἔρχονται, οἱ δὲ ἀνδρεῖοι ἐπὶ τὰ δεινά; Lach. 195. B: τὰ ... δεινά τε καὶ θαῤῥαλέα. E. 198. C: θαῤῥαλέα (φαμὲν εἶναι) τὰ μὴ κακὰ ἢ ἀγαθὰ μέλλοντα. 199. B. Def. 412. A: περὶ τὰ δεινὰ καὶ θαρσαλέα.

θαῤῥαλέως, *fidenter*. Apol. 34. E: εἰ ... θαῤῥαλέως ἐγὼ ἔχω πρὸς θάνατον ἢ μή, ἄλλος λόγος. Alc. I. 110. B: μάλα μέγα καὶ θαῤῥ. λέγοντος. Euthyd. 275. B: ἀνδρείως τε καὶ θαῤῥαλέως ... ἔφη. Men. 84. A: θαῤῥ. ἀπεκρίνετο ὡς εἰδώς.

θάῤῥος et θάρσος, τό, *fidentia*, *audacia*; *animus*. Legg. I. 644. C: φόβος μὲν ἡ πρὸ λύπης ἐλπίς, θάῤῥος δὲ ἡ πρὸ τοῦ ἐναντίου. 647. B: θάῤῥος ... πολεμίων (*adversus hostes*).

Men. 88. B: εἰ μὴ ἔστι φρόνησις ἡ ἀνδρεία, ἀλλ' οἷον θάῤῥος τι. Ax. 365. A. Def. 412. A: θάρσος πολεμικόν. C. Conv. 192. A: ὑπὸ θάῤῥους καὶ ἀνδρείας cet. Legg. II. 671. C: εἰσιόντι τῷ μὴ καλῷ θάῤῥει. Prot. 351. A: οὐ ταὐτὸν εἶναι θάρσος τε καὶ ἀνδρείαν. Phaed. 95. C: (εἰ) μὴ ἀνόητόν τε καὶ ἠλίθιον θάῤῥος (libri plures θάρσος) θαῤῥήσει. Tim. 69. D: θάῤῥος καὶ φόβον. Legg. I. 647. A. Ax. 371. E: τὸ θάρσος τῆς ἐκεῖσε πορείας ... ἐναύσασθαι. Prot. 360. B: οὐδὲ αἰσχρὰ θάῤῥη θαῤῥοῦσιν.

θαῤῥῶ, *confido; bono* vel *securo sum animo; bene spero; non metuo* (c. accus.). Conv. 193. E: νῦν δὲ ὅμως θαῤῥῶ. Pol. IX. 574. B: οὐ πάνυ ... ἔγωγε θαῤῥῶ περὶ τῶν γονέων τοῦ τοιούτου. Critia 108. C: ἐπίπροσθεν ἔχων ἄλλον ἔτι θαῤῥεῖς. Euthyd. 275. C: ὥστε ἐπιεικῶς θαῤῥεῖ (v. θάῤῥει) τὸ ἀποκρίνασθαι. Prot. 359. D: ἐπὶ ἅ γε θαῤῥοῦσι πάντες αὖ ἔρχονται. 360. B. Phaedr. 239. D: τὸ ... τοιαῦτον σῶμα ... οἱ ἐχθροὶ θαῤῥοῦσιν. Men. 88. B: ὅταν ... ἄνευ νοῦ θαῤῥῇ ἄνθρωπος. Prot. 314. E: ἀλλὰ θάῤῥει· Πρωταγόραν γάρ τοι δεόμενοι ἰδεῖν ἤλθομεν. Theaet. 148. C: θάῤῥει τοίνυν περὶ σαυτῷ. Euthyd. 275. D: θάῤῥει ... καὶ ἀπόκριναι ἀνδρείως. Lach. 197. C. Menex. 249. E: θάῤῥει, οὐ κατερῶ. Ep. VII. 349. B. Imper. etiam ita interponitur ut cum verbo seq. in unam fere orationem coalescat. Prot. 311. A: ὥστε θάῤῥει (v. ὥστε, θάῤῥει,) καταληψόμεθα αὐτὸν ... ἔνδον. Phaed. 63. E: θαῤῥεῖν μέλλων ἀποθανεῖσθαι. 78. B: θαῤῥεῖν ἢ δεδιέναι ὑπὲρ τῆς ἡμετέρας ψυχῆς. 87. E. 88. B. 114. D. Soph. 261. B. Conv. 221. A. Legg. I. 649. A: τοῦ λίαν θαῤῥεῖν καὶ ἀκαίρως. al. Phaed. 95. C: θαῤῥῶν τε καὶ ἡγούμενος cet. Partic. plerumque ita ponitur ut exprimi possit voce *fidenter* (vern. *getrost* vel *keck*). Phaedr. 243. E: λέγε τοίνυν θαῤῥῶν. Gorg. 527. D: θαῤῥῶν πατάξαι (ἔασον) τὴν ἄτιμον ταύτην πληγήν. Theaet. 145. C: θαῤῥῶν ἔμμενε τῇ ὁμολογίᾳ. 157. D. Soph. 242. B: θαῤῥῶν ἴθι τούτου γε ἕνεκα. Crat. 426. B. 428. A. Pol. I. 352. B. Legg. I. 642. D. Charm. 166. D: θαῤῥῶν ... ἀποκρινόμενος τὸ ἐρωτώμενον cet. Euthyd. 307. C. Phaed. 88. B: θάνατον θαῤῥοῦντι. Soph. 258. B: δεῖ θαῤῥοῦντα ἤδη λέγειν. Legg. II. 657. A. B. VII. 810. E. Epin. 987. A. Men. 86. B. Legg. X. 897. A: θαῤῥοῦσαν, φοβουμένην cet. Phil. 57. D: θαῤῥοῦντες ἀποκρινώμεθα τοῖς δεινοῖς περὶ λόγων ὁλκήν. Pol. I. 376. B. IX. 586. D. Legg. II. 657. C: ἆρ' οὖν θαῤῥοῦντες λέγομεν —; Prot. 350. B: θαῤῥοῦντας ... πρὸς ἕκαστα τούτων. Ib. λίαν γε θαῤῥοῦντας. Theaet. 189. D: ἵνα μὴ μάτην θαῤῥήσῃς. Pol. V. 451. B: ἀλλὰ θαῤῥήσας λέγε. Legg. VII. 797. A: ὅμως ... θαῤῥήσας οὐκ ἀποστήσομαι. Pol. VIII. 566. B: θαῤῥήσαντες ... ὑπὲρ ἑαυτῶν. Phaed. 95. C: (εἰ) μὴ ἀνόητον ... θάῤῥος θαῤῥήσει. Legg. I. 649. B: ὅπως ὅτι μάλιστα θαῤῥήσομεν.

θάτερον (τὸ ἕτερον), *alterum*; etiam *aliud*, *diversum* (sensu philosopho vern. *das Differente*). Soph. 250. E: καθάπερ ἂν αὐτῶν θάτερον ... ἀναφαίνηται, καὶ θάτερον οὕτως ἀναφαίνεσθαι. 255. A: περὶ ... ἀμφότερα θάτερον ὁποτερονοῦν γιγνόμενον αὐτοῖν ἀναγκάζει μεταβάλλειν αὖ θάτερον ἐπὶ τοὐναντίον τῆς αὑτοῦ φύσεως. C: τὸ θάτερον ... ἡμῖν λεκτέον πέμπτον. E: διὰ τὸ μετέχειν τῆς ἰδέας τῆς θατέρου. 257. C: ἡ θατέρου ... φύσις. 258. D: τὴν ... θατέρου φύσιν ἀποδείξαντες οὖσαν. Tim. 35. A: τῆς τε ταὐτοῦ φύσεως ... πέρι καὶ τῆς θατέρου. B. 36. C. 37. A. B. 38. C: ἡ θατέρου περίοδος. 44. A: τοῦ ταὐτοῦ γένους ἢ τοῦ θατέρου. 62. E. al. Soph. 267. E: θατέρῳ τοίνυν χρηστέον. 252. B: οἱ μηδὲν ἐῶντες κοινωνίᾳ παθήματος ἑτέρου θάτερον προσαγορεύειν. 254. E: τί ... οὕτως εἰρήκαμεν τό τε ταὐτὸν καὶ θάτερον. 266. D: κατὰ θάτερον τμῆμα, κατὰ δὲ θάτερον cet. 258. A: πρὸς τὸ μηδέν τι μᾶλλον εἶναι θάτερον θατέρου. Polit. 265. C: τὸ μόριον θάτερον ... ἐπιτετάχθαι, τὸ δὲ ἕτερον cet. Tim. 44. A: ταὐτόν τῳ καὶ θάτερόν του τἀναντία τῶν ἀληθῶν προσαγορεύουσαι. 46. C: θάτερον ἐπὶ θάτερον. Soph. 263. D: περὶ ... σοῦ λεγόμενα ... θάτερα ὡς τὰ αὐτὰ καὶ μὴ ὄντα ὡς ὄντα cet. Legg. I. 631. C: ἤρτηται δ' ἐκ τῶν θείων θάτερα. IV. 719. C. 722. B: οὐ διπλῷ θάτερα τῶν ἑτέρων διάφορα μόνον εἰς ἀρετὴν τῆς χρείας. Tim. 63. E: τὰ δὲ τούτοις ἔχοντα ὡς ἑτέρως θάτερα. Soph. 227. B: θάτερα τῶν ἑτέρων ... οὐδὲν ἡγεῖται γελοιότερα. Hinc ἐπὶ θάτερα, *in alteram* (etiam *contrariam*) *partem*, *ex altera parte*. Theaet. 167. A: μεταβλητέον δ' ἐπὶ θάτερα. Soph. 259. C: τοτὲ μὲν ἐπὶ θάτερα, τοτὲ δ' ἐπὶ θάτερα τοὺς λόγους ἕλκων. Phil. 15. E. Tim. 79. E: ὅταν ... ἐπὶ θάτερα ὁρμήσῃ, θάτερα περιωθεῖ. Critia 118. A: ἐπὶ μὲν θάτερα ... κατὰ δὲ μέσον. Legg. VI. 771. C. VII. 795. C. Prot. 314. E: ἐκ μὲν τοῦ ἐπὶ θάτερα — ἐκ δὲ τοῦ ἐπὶ θάτερα. Vocem θάτερον (*aliud* vel *contrarium*, int. atque conducit) Attici rem tristem nomine mitigantes etiam in *malo* usurpant. Euthyd. 280. E: πλεῖον (al. πλέον) γάρ που ... θάτερόν ἐστιν, ἐάν τις χρῆται ... ἢ ἐὰν ἐᾷ. Phaed. 114. E: πλέον θάτερον ἡγησάμενος ἀπεργάζεσθαι (*magis obesse*, int. quam prodesse). **alterutrum*. Gorg. 475. A: ὅταν ... δυοῖν καλοῖν θάτερον κάλλιον ᾖ. Phaed. 66. E. 76. A: ὥστε ... δυοῖν θάτερον, ἤτοι — ἤ. Apol. 40. C: δυοῖν ... θάτερόν ἐστι τὸ τεθνάναι, ἢ — ἤ. Legg. X. 904. B: γένεσις γὰρ οὐκ ἄν ποτε ἦν ζώων ἀπολομένου τούτοιν θατέρου. Soph. 243. E: οὐ γάρ που (v. πω) τοῖν γε δυοῖν καλοῦντες θάτερον ὂν ἀμφότερα ὁμοίως εἶναι λέγετε. Legg. IX. 854. D: δυοῖν δὲ θάτερον ἀπεργάζεται σχεδόν, ἢ — ἤ. XII. 943. E: ῥάδιον ... οὐδαμῶς διορίσαι τούτων θάτερον. Theaet. 187. B: δυεῖν θάτερα (v. θάτερον), ἢ εὑρήσομεν — ἢ cet. Phil. 43. E: τὸ δὲ μηδέτερα τούτων ἔσθ' ἡμῖν ὅπως θάτερα γένοιτ' ἄν,

χρυσὸς ἢ ἄργυρος; Legg. VI. 765. D: παίδων ... πατήρ, μάλιστα μὲν υἱέων καὶ θυγατέρων, εἰ δὲ μή, θἄτερα. Epin. 984. A: τούτων ἡμῖν θἄτερα θετέα. Legg. VIII. 841. D: τάχα δ' ἂν ... κἂν δυοῖν θἄτερα βιασαίμεθα περὶ ἐρωτικῶν, ἢ — ἤ. Epin. 983. E: δυοῖν τοι θἄτερα θετέον αὐτά, ἢ — ἤ. Crit. 52. A: ἐφιέντων δυεῖν θἄτερα, ἢ — ἤ.

θᾶττον, *citius*. Theaet. 165. A: ἡμεῖς ... θᾶττον ἐκ τῶν ψιλῶν λόγων πρὸς τὴν γεωμετρίαν ἀπενεύσαμεν. 206. D: θᾶττον ἢ σχολαίτερον. Pol. X. 610. D. Tim. 39. A. (sq. βραδύτερον). Legg. IV. 711. C: ἄλλῃ θᾶττον καὶ ῥᾷον μεταβάλλειν ἄν ποτε πόλιν τοὺς νόμους ἢ cet. VI. 773. B: θᾶττον τοῦ δέοντος πρὸς πάσας τὰς πράξεις φερόμενον. Apol. 39. A: θᾶττον γὰρ θανάτου θεῖ (πονηρία). Ax. 364. C. — Cum coniunctt. ἐπειδάν, ἐάν et εἰ est *quum primum, simul atque*. Prot. 325. C: ἐπειδὰν θᾶττον συνιῇ τις τὰ λεγόμενα. Alc. I. 105. A: ἐὰν θᾶττον (*quum primum*) εἰς τὸν Ἀθηναίων δῆμον παρέλθῃς. Ep. VII. 324. B: εἰ θᾶττον ἐμαυτοῦ γενοίμην κύριος, ἐπὶ τὰ κοινὰ τῆς πόλεως εὐθὺς ἰέναι.

θάττων (ταχύς), *celerior*; *alacrior*; etiam *brevior* (de via). Legg. IV. 710. B: θάττων γὰρ ταύτης καὶ ἀμείνων πολιτείας διάθεσις οὔτ' ἔστιν οὔτ' ἄν ποτε γένοιτο. Phaed. 71. A: ἐκ βραδυτέρου τὸ θᾶττον. Apol. 39. B: ἅτε δεινοὶ καὶ ὀξεῖς ὄντες ὑπὸ τοῦ θάττονος, τῆς κακίας (ἑάλωσαν). Polit. 265. A: τὴν μὲν θάττω (ὁδόν; oppon. μακροτέραν). Phil. 25. C: πρόσθες ... καὶ θᾶττον καὶ βραδύτερον. Pol. IV. 438. C: καὶ θάττω πρὸς βραδύτερα ... ἆρ' οὐχ οὕτως ἔχει; Legg. VI. 773. C: θάττους ... ἤθεσι πρὸς βραδυτέρους καὶ βραδυτέρους πρὸς θάττους ἀναγκάζειν τῇ τῶν γάμων κοινωνίᾳ πορεύεσθαι. VII. 796. C: θάττους τε καὶ βραδυτέρας ἐν ὀρχήσεσι καὶ ἐν πορείᾳ τὰς ἱκετείας ποιουμένους.

θαῦμα, τό, *miraculum; praestigiae*; in univ. *quod mirum vel admirandum est*. Soph. 233. A: τί ποτ' οὖν ἂν εἴη τὸ σοφιστικῆς δυνάμεως θαῦμα; Pol. VI. 498. D: τὸ ... μὴ .. πείθεσθαι τοῖς λεγομένοις τοὺς πολλοὺς θαῦμα οὐδέν. Critia 113. B: μηδὲν ὑμῖν ἔστω θαῦμα. Legg. II. 656. D: θαῦμα καὶ ἀκοῦσαι. VII. 820. E: θαῦμά γε περὶ ταῦτά ἐστι μέγα. Epin. 988. D: θαῦμα οὐδέν. 990. D: ὃ δὴ θαῦμα οὐκ ἀνθρώπινον, ἀλλὰ γεγονὸς θεῖον φανερὸν ἂν γίγνοιτο τῷ δυναμένῳ ξυννοεῖν. Legg. I. 645. D: προςφέροντες τῷ θαύματι τούτῳ τὴν μέθην ποῖόν τί ποτε αὐτὸ ἀπεργαζόμεθα; X. 899. A: δυνάμεις ... ὑπερβαλλούσας θαύματι. I. 644. D: θαῦμα ... ἕκαστον ἡμῶν ἡγησώμεθα τῶν ζώων θεῖον. VII. 804. B: θαύματα ὄντες τὸ πολύ. I. 645. B: περὶ θαυμάτων ὡς ὄντων ἡμῶν. Pol. VII. 514. B: ὑπὲρ ὧν τὰ θαύματα δεικνύασιν. Legg. II. 658. B: θαύματα ἐπιδεικνύς. C: τὸν τὰ θαύματα ἐπιδεικνύντα. **admiratio*. Phil. 36. D: θαῦμα γάρ ἐμέ γ' ἔχει διὰ τέλους ἀεὶ περὶ τὰ αὐτὰ ... ἀπο-

ρήματα. Conv. 221. C: τοῦτο ἄξιον παντὸς θαύματος. Legg. XII. 967. A: θαύματα ... καὶ τότε ὑπεδύετο περὶ αὐτά.

θαυμάζω, *miror; admiror;* etiam *dubito, non capio.* Gorg. 458. E: ἃ θαυμάζω ἐν τοῖς λεγομένοις ὑπὸ σοῦ. Phaed. 97. A: θαυμάζω γὰρ εἰ ... ἓν ἄρ' ἑκάτερον ἦν. Theaet. 161. B: οἶσθ' οὖν ... ὃ θαυμάζω τοῦ ἑταίρου σου Πρωταγόρου; Crat. 428. D: θαυμάζω καὶ αὐτὸς πάλαι τὴν ἐμαυτοῦ σοφίαν. Conv. 175. A: ἀλλὰ θαυμάζω καὶ αὐτὸς ποῦ ἂν εἴη. Legg. I. 628. E. Crit. 43. A: θαυμάζω ὅπως cet. B: σοῦ πάλαι θαυμάζω αἰσθανόμενος ὡς ἡδέως καθεύδεις. Prot. 326. E: θαυμάζεις ... καὶ ἀπορεῖς εἰ διδακτόν ἐστιν ἀρετή; Polit. 301. E: θαυμάζομεν ... ὅσα ξυμβαίνει γίγνεσθαι κακά. Conv. 180. B: μᾶλλον ... θαυμάζουσι ... ὅταν cet. Pol. VIII. 551. A. Conv. 205. B: ἀλλὰ μὴ θαύμαζ', ἔφη. 208. B: μὴ οὖν θαύμαζε εἰ cet. Legg. I. 637. C. Crit. 50. C: μὴ θαύμαζε τὰ λεγόμενα. Prot. 312. C: θαυμάζοιμ' ἂν εἰ οἶσθα. 315. E: οὐκ ἂν θαυμάζοιμι εἰ παιδικὰ Παυσανίου τυγχάνει ὤν. 336. C. Gorg. 452. B. Crat. 428. B. Apol. 24. A. Conv. 208. C: θαυμάζοις ἄν. Pol. IX. 584. E. Crit. 50. C: εἰ ... αὐτῶν θαυμάζοιμεν λεγόντων. Pol. X. 597. A: μηδὲν ἄρα θαυμάζωμεν εἰ cet. Critia 113. A· μὴ ... θαυμάζητε. Theaet. 155. D: μάλα γὰρ φιλοσόφου τοῦτο τὸ πάθος, τὸ θαυμάζειν. Conv. 189. A: ὥστε με θαυμάζειν εἰ cet. Pol. II. 360. A. VIII. 553. D. Alc. I. 103. A: οἶμαί σε θαυμάζειν ὅτι cet. Hipp. mai. 282. E: ὥστε ἐκεῖνον ... θαυμάζειν τε καὶ ἐκπεπλῆχθαι. Legg. I. 637. C: θαυμάζοντι ξένῳ. Pol. VI. 489. A: ἐκεῖνον τὸν θαυμάζοντα ὅτι cet. Conv. 220. C: θαυμάζοντες ἄλλος ἄλλῳ ἔλεγεν ὅτι cet. Phaed. 95. A: πάνυ ἐθαύμαζον εἴ τι ἕξει τις χρήσασθαι τῷ λόγῳ αὐτοῦ. Theaet. 142. A: ἐθαύμαζον ὅτι οὐχ οἷός τ' ἦ εὑρεῖν. Conv. 206. B: οὐ μέντ' ἂν σὲ ... ἐθαύμαζον ἐπὶ σοφίᾳ. Tim. 25. E. Phaedr. 258. B: οὐχ ὡς ὑπερφρονοῦντες τοῦ ἐπιτηδεύματος, ἀλλ' ὡς τεθαυμακότες. Prot. 329. B: ὃ δ' ἐθαύμασά σου λέγοντος, τοῦτο cet. Phaed. 89. A: ἔγωγε μάλιστα ἐθαύμασα αὐτοῦ (vern. *an illum*) πρῶτον μὲν τοῦτο ὡς cet. Theaet. 142. C: ἐθαύμασα Σωκράτους ὡς μαντικῶς cet. Conv. 208. B. Pol. I. 348. E: ἀλλὰ τόδε ἐθαύμασα εἰ cet. Legg. VII. 819. D: τὸ περὶ ταῦτα ἡμῶν πάθος ἐθαύμασα. Apol. 17. A: μάλιστα ... αὐτῶν ἓν ἐθαύμασα τῶν πολλῶν ὧν ἐψεύσαντο. Epin. 986. C: ὃν (λόγον) ὁ ... εὐδαίμων ... ἐθαύμασε. Euthyd. 279. D. Pol. I. 337. C: οὐκ ἂν θαυμάσαιμι ... εἴ μοι σκεψαμένῳ οὕτω δόξειε. IX. 585. A. Tim. 26. B. Hipp. min. 364. A. Hipp. mai. 282. D: θαυμάσαις ἄν. Conv. 215. A: ἐὰν ... λέγω, μηδὲν θαυμάσῃς. Pol. VII. 517. C: μὴ θαυμάσῃς ὅτι cet. Tim. 29. C. Legg. VII. 804. B. VI. 781. D: θαυμάσητε δὲ μηδὲν ἐὰν ὑμῖν ἄνωθέν ποθεν ἐπιχειρεῖν δόξω. III. 693. B: μὴ θαυμάσωμεν ... εἰ cet. Pol. II. 376. A: ὃ καὶ ἄξιον θαυμάσαι τοῦ θηρίου. Tim. 23. D. Legg.

V. 739. A. Alc. I. 123. C. Phaedr. 257. C: *τὸν λόγον δέ σου πάλαι θαυμάσας ἔχω.* Riv. 132. B: *θαυμάσας αὐτοῦ τὴν ἀπόκρισιν.* Pol. II. 359. D: *ἰδόντα ... καὶ θαυμάσαντα.* Parm. 129. C: *τοῦτο ἤδη θαυμάσομαι.* Euth. 15. B: *θαυμάσει ... ταῦτα λέγων ἐὰν* cet. Pass. Tim. 24. D: *πολλὰ ὑμῶν ... ἔργα θαυμάζεται.* 80. C: *τὰ θαυμαζόμενα ἠλέκτρων περὶ τῆς ἕλξεως* cet. Men. 70. A: *ἐθαυμάζοντο ἐφ' ἱππικῇ τε καὶ πλούτῳ.* Verb. Polit. 302. A: *ἢ ἐκεῖνο ἡμῖν θαυμαστέον μᾶλλον ὡς ἰσχυρόν τι πόλις ἐστὶ φύσει;*

θαυμάσιος, α, ον, *mirus, admirabilis, incredibilis* (etiam in malam partem, ut vern. *wunderlich*, i. q. *seltsam, ungereimt*). Phaedr. 242. A: *θεῖός γ' εἶ περὶ τοὺς λόγους ... καὶ ἀτεχνῶς θαυμάσιος.* Gorg. 496. D: *δύναμίς τε καὶ τυραννὶς θαυμασία.* Euthyd. 288. B. Prot. 361. B: *θαυμάσιον ἔσται μὴ διδακτὸν ὄν.* Gorg. 496. A: *θαυμάσιον γὰρ ... καὶ ἄλογον γίγνεται.* Apol. 40. A: *ἐμοί ... θαυμάσιόν τι γέγονεν.* D: *θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος.* Gorg. 477. D: *κακῷ θαυμασίῳ ὑπερβάλλουσα τἆλλα.* Lys. 204. D: *ὅτι καὶ ᾄδει ... φωνῇ θαυμασίᾳ.* Conv. 177. B: *ἔπαινον θαυμάσιον ἔχοντες πρὸς ὠφέλειαν.* Hipp. min. 372. C: *ἓν ... τοῦτο θαυμάσιον ἔχω ἀγαθὸν ὅ με σώζει.* Conv. 216. C: *τὴν δύναμιν ὡς θαυμασίαν ἔχει.* Pol. X. 620. A. Crat. 391. D: *ἢ οὐκ οἴει αὐτὸν μέγα τι καὶ θαυμάσιον λέγειν* cet. Conv. 217. A: *ἐφρόνουν ... ἐπὶ τῇ ὥρᾳ θαυμάσιον ὅσον.* Theag. 130. A: *θαυμάσιον ἐπιδιδόασιν.* Phaedr. 230. C: *ὦ θαυμάσιε.* 257. C. Gorg. 470. A. 489. D. Crat. 439. C: *ὦ θαυμάσιε Κρατύλε.* Conv. 222. E. Legg. X. 897. C. Euthyd. 271. C: *θαυμάσι' ὦ* (al. *θαυμάσι', ὦ*) *Κρίτων.* al. (Est vero modo amica appellatio, modo admonitio, atque etiam lenis compellatio). Gorg. 518. B: *ὅτι οὗτοι θαυμάσιοι γεγόνασι σωμάτων θεραπευταί.* Theaet. 210. C: *ὅσοι μεγάλοι καὶ θαυμάσιοι ἄνδρες εἰσί τε καὶ γεγόνασι.* Euthyd. 305. B. Legg. I. 625. B: *κυπαρίττων ... ὕψη καὶ κάλλη θαυμάσια.* Euthyd. 283. A: *ὡς ... ἀκουσόμενοι θαυμασίους τινὰς λόγους.* Phaed. 58. D: *ἔγωγε θαυμάσια ἔπαθον παραγενόμενος.* Conv. 220. A: *θαυμάσια εἰργάζετο* cet. 221. C: *πολλὰ οὖν ἄν τις καὶ ἄλλα ἔχοι Σωκράτη ἐπαινέσαι καὶ θαυμάσια.* Pol. V. 474. A: *ὡς θαυμάσια ἐργασομένους.* Apol. 35. A: *θαυμάσια ἐργαζομένους.* De lucri cup. 377. B. Euthyd. 288. A: *θαυμάσιά γε λέγει* cet. Phaed. 117. D: *οἷα ... ποιεῖτε, ὦ θαυμάσιοι;* Phaedr. 260. D: *τί ποτ', ὦ θαυμάσιοι, ληρεῖτε;* Pol. VII. 526. A. Conv. 215. C: *πολύ γε θαυμασιώτερος ἐκείνου.* Euthyd. 299. E: *ὃ θαυμασιώτερόν γε ἔτι, ὅτι* cet. Menex. 235. B: *θαυμασιωτέραν αὐτὴν (τὴν πόλιν) ἡγεῖσθαι εἶναι ἢ πρότερον.* Euth. 6. B: *καὶ ἔτι γε τούτων θαυμασιώτερα.* Pol. II. 364. B: *τούτων δὲ πάντων οἱ περὶ θεῶν τε λόγοι καὶ ἀρετῆς θαυμασιώτατοι λέγονται, ὡς* cet.

θαυμασίως, *admirabiliter* (vern. *ausserordentlich* et *selt-*

sam, sonderbar). Prot. 325. B: σκέψαι ὡς θαυμασίως γίγνονται οἱ ἀγαθοί. Phaed. 60. B: ὡς θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυπηρόν. Theaet. 193. D: ἔοικε ... θαυμασίως ᾧ λέγεις τὸ τῆς δόξης πάθος. Tim. 29. D: τὸ προοίμιον θαυμασίως ἀπεδεξάμεθά σου. Hipp. mai. 291. E: ἦ θαυμασίως τε καὶ μεγάλως ... εἴρηκας. — Sq. ὡς est Lat. *mirum quam*. Gorg. 471. B: νῦν δὲ θαυμασίως ὡς ἄθλιος γέγονεν. Theaet. 157. D: θαυμασίως φαίνεται ὡς ἔχειν λόγον.

θαυμαστός, ή, όν, *admirabilis, mirabilis, incredibilis; praestantissimus*; in malam partem pos. est *pugnans* (vern. *ungereimt*). Theaet. 144. D: πρὸς τὴν τῶν χρημάτων ἐλευθεριότητα θαυμαστός. Soph. 236. C: ὄντως θαυμαστὸς ἀνήρ. Parm. 134. E: ἀλλὰ μὴ λίαν ... ᾖ θαυμαστὸς ὁ λόγος. Conv. 178. A: ὅτι μέγας θεὸς εἴη ὁ Ἔρως καὶ θαυμαστὸς ἐν ἀνθρώποις τε καὶ θεοῖς. 186. A. Legg. XII. 957. C: ὁ θεῖος ... καὶ θαυμαστὸς νόμος. Charm. 154. C: θαυμαστὸς ἐφάνη τό τε μέγεθος καὶ τὸ κάλλος. Euthyd. 286. C. De lege 319. C: τοῦτ' ἔστιν ἔπαινος θαυμαστός. Gorg. 502. A: ἡ σεμνὴ αὕτη καὶ θαυμαστὴ ἡ τῆς τραγῳδίας ποίησις. Crat. 395. E: θαυμαστὴ ὡς σύμφωνος τῷ ὀνόματι. Conv. 182. D: ὅτι ... ἡ παρακέλευσις ... θαυμαστή. Legg. I. 648. C: γυμνασία ... θαυμαστὴ ῥαστώνης ἂν εἴη. X. 904. A: θαυμαστὴ ῥαστώνη. Apol. 41. A: θαυμαστὴ ἂν εἴη ἡ διατριβὴ αὐτόθι. Prot. 328. C: ὅτι οὐδὲν θαυμαστὸν τῶν ἀγαθῶν πατέρων φαύλους υἱεῖς γίγνεσθαι. Phaedr. 279. A: ὥστε οὐδὲν ἂν γένοιτο θαυμαστὸν ... εἰ cet. Gorg. 517. E. Parm. 129. B: εἰ ... τί θαυμαστόν; Phil. 29. C: θαυμαστὸν καὶ κάλλει καὶ πάσῃ δυνάμει cet. Conv. 177. B: καὶ τοῦτον μὲν ἧττον καὶ θαυμαστόν. Pol. III. 390. A: εἰ ... θαυμαστὸν οὐδέν; VI. 502. B: θαυμαστόν τι καὶ ἀδύνατον; Tim. 19. D. Legg. IV. 712. D: θαυμαστὸν ὡς τυραννικὸν ἐν αὐτῇ γέγονε. VII. 811. C: καί μοι ἴσως οὐδὲν θαυμαστὸν πάθος ἐπῆλθε. Menex. 235. E: καὶ ἐμοὶ μέν γε ... οὐδὲν θαυμαστὸν οἵῳ τ' εἶναι εἰπεῖν. Ep. II. 314. A: ὃ δὲ θαυμαστὸν αὐτοῦ γέγονεν ἄκουσον. Pol. I. 350. D: μετὰ ἱδρῶτος θαυμαστοῦ ὅσου. Phaed. 98. B: ἀπὸ δὴ θαυμαστῆς ... ἐλπίδος ᾠχόμην φερόμενος. Legg. X. 906. A: φυλακῆς θαυμαστῆς δεομένη (μάχη). Epin. 988. C: ὕστερα δὲ τὰ τῆς θαυμαστῆς ψυχῆς. 990. B. Euthyd. 288. A. 303. C. Critia 117. A: ἡδονῇ ... τῶν ὑδάτων ἑκατέρου ... θαυμαστοῦ πεφυκότος. Legg. V. 727. E: ὡς θαυμαστοῦ τούτου κτήματος ἀμελεῖ. I. 646. B: τοῦ θαυμαστοῦ τε καὶ ἀτόπου (ἕνεκα), εἰ cet. Conv. 219. B: τούτῳ τῷ δαιμονίῳ ὡς ἀληθῶς καὶ θαυμαστῷ. Ep. VII. 326. C: οὐχ οὕτω θαυμαστῇ φύσει κραθήσεται. Soph. 225. E: τὸν θαυμαστὸν ... σοφιστήν. Polit. 277. B: θαυμαστὸν ὄγκον ἀράμενοι τοῦ μύθου. 306. B: θαυμαστόν τινα λόγον. Phil. 14. C. Pol. III. 398. A: προσκυνοῖμεν ἂν αὐτὸν ὡς ἱερὸν καὶ θαυμαστὸν καὶ ἡδύν. X. 596. C: δεινόν τινα λέγεις καὶ

θαυμαστὸν ἄνδρα. Ib. πάνυ θαυμαστὸν ... λέγεις σοφιστήν. Tim. 50. C: τρόπον τινὰ δύςφραστον καὶ θαυμαστόν. Epin. 982. C: θαυμαστόν τινα χρόνον ὅσον. Phaed. 110. C: θαυμαστὴν τὸ κάλλος. Phil. 28. D: φρόνησίν τινα θαυμαστήν. Conv. 213. E: τὴν τούτου ταυτηνὶ τὴν θαυμαστὴν κεφαλήν. Legg. VIII. 838. C: ὅτι τὸ τῆς φήμης θαυμαστήν τινα δύναμιν εἴληχεν. Alc. II. 151. A: θαυμαστὴν ὅσην περὶ σὲ προθυμίαν ἔχει. Ep. VII. 340. C: ὁδόν τε ἡγεῖται θαυμαστὴν ἀκηκοέναι. Prot. 318. B: τοῦτο μὲν οὐδὲν θαυμαστὸν λέγεις. Theaet. 150. D: θαυμαστὸν ὅσον ἐπιδιδόντες. Phil. 57. C: εἰς θαυμαστὸν διαφορᾶς μέγεθος ... προεληλύθαμεν. Conv. 204. B: θαυμαστὸν οὐδὲν ἔπαθες. 210. E: κατόψεταί τι θαυμαστὸν τὴν φύσιν καλόν. 217. A: εὐτύχημα ἐμὸν θαυμαστόν. Pol. II. 378. B: οὐδὲν ἂν θαυμαστὸν ποιοῖ. Tim. 26. B: τὰ παίδων μαθήματα θαυμαστὸν ἔχει τι μνημεῖον. Legg. II. 657. A: θαυμαστὸν λέγεις. Epin. 983. A: θαυμαστόν τι μέγεθος ἔχει. Hipp. mai. 283. C: τέρας λέγεις καὶ θαυμαστόν. Lach. 184. C: εἰ μή τι θαυμαστὸν ὅσον διαφέρει τῇ ἀρετῇ τῶν ἄλλων. Ep. VII. 325. D: ἐπεδίδου θαυμαστὸν ὅσον. 339. B. Polit. 265. A: ὦ θαυμαστέ. Phaed. 108. C: εἰσὶ δὲ πολλοὶ καὶ θαυμαστοὶ τῆς γῆς τόποι. Polit. 207. D: παθήματα πολλὰ καὶ θαυμαστά. Conv. 198. B: καὶ τὰ μὲν ἄλλα οὐχ ὁμοίως θαυμαστά. 217. A: πάγκαλα καὶ θαυμαστά. Tim. 20. Legg. III. 686. C: θαυμαστά ... ἐργασάμενον. E. Polit. 270. B: ὃ πάντων ... τῶν θαυμαστῶν αἴτιον. Legg. X. 893. D: διὸ ... τῶν θαυμαστῶν ἁπάντων πηγὴ γέγονεν. XII. 967. B: θαυμαστοῖς λογισμοῖς. Gorg. 518. B: ὁ μὲν ἄρτους θαυμαστοὺς παρασκευάζων. Legg. XII. 945. E: διὸ ... δεῖ πάντως τοὺς εὐθύνους θαυμαστοὺς πᾶσαν ἀρετὴν εἶναι. Theaet. 151. A: θαυμαστὰ δρῶντες. 154. B: θαυμαστά γε καὶ γελοῖα ... ἀναγκαζόμεθα λέγειν. 174. E: θαυμαστὰ πλήθει. Conv. 213. D: θαυμαστὰ ἐργάζεται. Critia 115. B: καλά τε καὶ θαυμαστά. Hipp. mai. 282. C: χρήματα ἔλαβε θαυμαστὰ ὅσα. Euthyd. 295. A: ἐγὼ ἐπιδείξω καὶ σὲ ταῦτα τὰ θαυμαστὰ ὁμολογοῦντα. Men. 93. D. Theaet. 142. B: ἀλλὰ πολὺ θαυμαστότερον εἰ μὴ τοιοῦτος ἦν. Pol. VI. 489. A. Parm. 135. B: ἔτι δὲ θαυμαστοτέρου (ἀνδρός). Polit. 269. B: καὶ τούτων ἔτι θαυμαστότερα. Ep. II. 314. A. Conv. 220. A: ὃ πάντων θαυμαστότατον ἀκοῦσαι, ὅτι cet. — Plur. adverbii instar pos. Conv. 192. B: θαυμαστὰ ἐκπλήττονται φιλίᾳ cet. 220. A: ἠμφιεσμένων τε θαυμαστὰ δὴ ὅσα.

θαυμαστῶς, *mirabiliter*; *insigniter*; *mirifice*. Phaed. 74. B: φῶμεν ... θαυμαστῶς γε. 88. D: θαυμαστῶς γάρ μου ὁ λόγος οὗτος ἀντιλαμβάνεται καὶ νῦν καὶ ἀεί. Theaet. 144. A. οὕτω θαυμαστῶς εὖ πεφυκότα. Parm. 129. E: ἀγαίμην ἂν ἔγωγ', ἔφη, θαυμαστῶς. Conv. 198. A: ὅτι Ἀγάθων θαυμαστῶς ἐροῖ. Tim. 39. D. Critia 108. B: ὅτι θαυ-

μαστῶς ὁ πρότερος εὐδοκίμηκεν ἐν αὐτῷ ποιητής. Legg. I. 633. B: θαυμαστῶς πολύπονος. VI. 780. E: καλῶς καὶ ... θαυμαστῶς καθέστηκεν. 781. D. Epin. 985. A: θαυμαστῶς ἀσπάζεσθαι. Euthyd. 283. C: ὅτι θαυμαστῶς σπουδάζοιμεν. Ep. VII. 330. A. al. — Sq. ὡς est *mirum quam*. Phaed. 92. A: θαυμαστῶς ὡς ἐπείσθην ὑπ' αὐτοῦ. 95. A: θαυμαστῶς μοι εἶπες ὡς παρὰ δόξαν. 96. A. 102. A. Parm. 135. A. Conv. 200. A: ἐμοὶ μὲν γὰρ θαυμαστῶς δοκεῖ ... ὡς ἀνάγκη εἶναι. Pol. I. 331. A: εὖ οὖν λέγει θαυμαστῶς ὡς σφόδρα. Clit. 407. E: θαυμαστῶς ὡς ἐπαινῶ. Ep. VII. 330. A. XII. 359. C.

θαυματοποιία, ἡ, *praestigiatorum ars*. Pol. X. 602. D: ἡ θαυματοποιία καὶ ἄλλαι πολλαὶ τοιαῦται μηχαναί.

θαυματοποιικός, ή, όν, *praestigiatoris proprius*. Soph. 224. A: καὶ γραφικὴν (λέγωμεν) καὶ θαυματοποιικὴν (v. θαυματοποιητικήν). 268. D: ἐν λόγοις τὸ θαυματοποιικόν.

θαυματοποιός, ὁ, *praestigiator*. Soph. 235. B: τοῦ γένους εἶναι τοῦ τῶν θαυματοποιῶν. Pol. VII. 514. B: τοῖς θαυματοποιοῖς.

θαυματουργία, ἡ, *ostentatio ad mirationem spectans*. Legg. II. 675. A: ἀμουσία καὶ θαυματουργία γίγνοιτ' ἂν τῆς χρήσεως.

θαυματουργῶ, *miraculum edo* vel *efficio*. Tim. 80. C: τεθαυματουργημένα ... φανήσεται.

θεά, ἡ, *dea*. Pol. III. 388. A: θεᾶς παῖδα. 391. C. Conv. 180. D: πῶς δ' οὐ δύο τὼ θεά; Alc. I. 108. C: τίνες αἱ θεαὶ ὧν ἡ τέχνη; Conv. 219. C: μὰ θεούς, μὰ θεάς. Tim. 27. C. Epin. 980. C. al.

θέα, ἡ, *spectatio*. Pol. VIII. 545. C: κατὰ λόγον ... ἂν ... οὕτω γίγνοιτο ἥ τε θέα καὶ ἡ κρίσις. Legg. XII. 965. B: σκέψις θέα τ' (v. θετέον). Phaedr. 248. B: ἀτελεῖς τῆς τοῦ ὄντος θέας ἀπέρχονται. Pol. IV. 445. C: ἅ γε δὴ καὶ ἄξια θέας. IX. 582. C: τῆς ... τοῦ ὄντος θέας. Euthyd. 274. C. Pol. V. 466. E: πρὸς ... τῇ θέᾳ. 467. A: ἐμπειρίᾳ τε καὶ θέᾳ τῶν προσηκόντων. Phaedr. 250. B: μακαρίαν ὄψιν τε καὶ θέαν. Soph. 236. B. Pol. V. 467. E: ἀκτέον ἐπὶ τὴν θέαν. VII. 517. B: τὴν ... θέαν τῶν ἄνω. 525. A: ἐπὶ τὴν τοῦ ὄντος θέαν. X. 619. E: ταύτην ... τὴν θέαν ἀξίαν εἶναι ἰδεῖν ὡς cet. Lach. 179. E: ἐλθεῖν ἐπὶ θέαν τἀνδρός. Locr. 100. C. Phaedr. 247. A: πολλαὶ καὶ μακάριαι θέαι ... ἐντὸς οὐρανοῦ. Pol. X. 615. A: θέας ἀμηχάνους τὸ κάλλος.

θέαμα, τό, *spectaculum*. Pol. III. 402. D: τοῦτ' ἂν εἴη κάλλιστον θέαμα τῷ δυναμένῳ θεᾶσθαι. IV. 440. A: ἐμπλήσθητε τοῦ καλοῦ θεάματος. Legg. IV. 711. A. Phaed. 111. A: ὥστε αὐτὴν ἰδεῖν εἶναι θέαμα εὐδαιμόνων θεατῶν. Pol. X. 615. D: καὶ τοῦτο τῶν δεινῶν θεαμάτων. Tim. 87. D: πάντων θεαμάτων ... κάλλιστον καὶ ἐρασμιώτατον. Gorg.

525. C: τοῖς ἀεὶ τῶν ἀδίκων ἀφικνουμένοις θεάματα καὶ νουθετήματα.

θεατής, ὁ, *spectator*. Theaet. 173. C: οὔτε γὰρ δικαστὴς οὔτε θεατὴς cet. Ion. 535. E. Polit. 260. C: καθάπερ τινὰ θεατήν. Legg. II. 659. C: ὥστε αὐτοὶ ἑαυτοὺς οἱ θεαταὶ παιδεύουσι. Gorg. 502. A: ἢ ὅ τι μέλλει χαριεῖσθαι τῷ ὄχλῳ τῶν θεατῶν; Phaed. 111. A: θέαμα εὐδαιμόνων θεατῶν. Legg. II. 659. B. Ion. 535. D. Gorg. 502. B: χαρίζεσθαι τοῖς θεαταῖς μόνον. C. Legg. II. 659. B. 779. D. 658. A: ὃς δ' ἂν τέρψῃ τοὺς θεατὰς μάλιστα. VI. 767. D.

θεατός, ή, όν, *spectabilis* (qui spectari potest et dignus qui spectetur). Conv. 197. D: θεατὸς σοφοῖς. Phaedr. 247. C: μόνῳ θεατὴ (v. θεατῇ) νῷ (v. νῷ χρῆται).

θεατροκρατία, ἡ, *theatri dominatio*. Legg. III. 701. A: (ὅθεν) ἀντὶ ἀριστοκρατίας ... θεατροκρατία τις πονηρὰ γέγονεν.

θέατρον, τό, *theatrum*; etiam, ut Lat. *theatrum*, *spectatores*. Phaedr. 258. B: γεγηθὼς ἀπέρχεται ἐκ τοῦ θεάτρου ὁ ποιητής. Conv. 194. B: θεάτρου μεστόν. Critia 108. B: τὴν τοῦ θεάτρου διάνοιαν. Legg. II. 659. A: οὔτε γὰρ παρὰ θεάτρου δεῖ τόν γε ἀληθῆ κριτὴν κρίνειν μανθάνοντα. C. Conv. 194. B: βλέψαντος ἐναντία τοσούτῳ θεάτρῳ. Critia 108. D. Legg. II. 665. E. Conv. 194. A: διὰ τὸ οἴεσθαι τὸ θέατρον προσδοκίαν μεγάλην ἔχειν. Ax. 370. D: φιλοσόφων οὐ πρὸς ὄχλον καὶ θέατρον. Legg. III. 701. E: ὅθεν δὴ τὰ θέατρα ἐξ ἀφώνων φωνήεντα ἐγένοντο. VI. 779. D. IX. 876. B. Ax. 371. C: θέατρα ποιητῶν. Gorg. 502. D: ἐν τοῖς θεάτροις. Legg. II. 667. B: ἐν τοῖς κοινοῖς θεάτροις. Ep. IV. 321. A. Pol. VI. 492. B: εἰς δικαστήρια ἢ θέατρα. X. 604. E.

θεῖον, τό, *sulphur*. Locr. 99. C: θεῖον, ἄσφαλτον cet.

θεῖος, α, ον, *divinus*; *divinitus accidens*; *mente incitatus*; *eximius*, *praeclarus*, *praestans*; τὸ θεῖον, *divinum*, subst. *divinitas*; etiam *deus* vel *dii*. Prot. 315. E: θεῖος (ἀνήρ). Id. Soph. 216. B. Phil. 18. B: εἴτε τις θεὸς εἴτε καὶ θεῖος ἄνθρωπος. Pol. I. 331. E. Men. 99. D. Phaedr. 238. C: τῷ ὄντι γὰρ θεῖος ἔοικεν ὁ τόπος εἶναι. 242. A: θεῖός γ' εἶ περὶ τοὺς λόγους. Conv. 209. B: θεῖος ὤν. Pol. VI. 500. D: θεῖος εἰς τὸ δυνατὸν ἀνθρώπῳ γίγνεται. Legg. IV. 711. D: ὅταν ἔρως θεῖος τῶν σωφρόνων τε καὶ δικαίων ἐπιτηδευμάτων ἐγγένηται μεγάλαις τισὶ δυναστείαις. XII. 957. C: ὁ θεῖος ... καὶ θαυμαστὸς νόμος. Ep. VII. 340. C: ἐὰν ... ὄντως ᾖ φιλόσοφος ... θεῖος ὤν. Phaedr. 256. B: οὔτε σωφροσύνη ἀνθρωπίνη οὔτε θεία μανία. Pol. IX. 592. A: ἐὰν μὴ θεία τις ξυμβῇ τύχη. Apol. 33. C: θεία μοῖρα. Ion. 533. B: θεία ... δύναμις. Phil. 51. E: ἧττον ... τούτων θεῖον γένος ἡδονῶν. Pol. II. 382. E: πάντῃ ἄρα ἀψευδὲς τὸ δαιμόνιόν τε καὶ τὸ θεῖον. Tim. 90.

B: τὸ θεῖον ... ὀρθοῖ πᾶν τὸ σῶμα. Legg. III. 682. A: θεῖον γὰρ οὖν δὴ καὶ τὸ ποιητικὸν ὂν γένος. 696. A: τὸ κατ' ἀρχὰς ἡμῖν θεῖον. IX. 854. B: οὐκ ἀνθρώπινόν σε κακὸν οὐδὲ θεῖον κινεῖ cet. XII. 950. B: θεῖον δέ τι καὶ εὔστοχον ἔνεστι καὶ τοῖσι κακοῖς. Apol. 31. C: ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνεται. Ax. 370. C: εἰ μή τι θεῖον ὄντως ἐνῆν πνεῦμα τῇ ψυχῇ. Ep. III. 315. C: πόῤῥω ... ἡδονῆς ἵδρυται καὶ λύπης τὸ θεῖον. Phaed. 85. D: λόγου θείου τινός. Prot. 322. A: ἐπειδὴ ... ὁ ἄνθρωπος θείας μετέσχε μοίρας. Phaedr. 230. A: θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον. 234. D: μετὰ σοῦ, τῆς θείας κεφαλῆς. Pol. VI. 499. B: ἔκ τινος θείας ἐπιπνοίας. Tim. 80. B: διὰ τὴν τῆς θείας ἁρμονίας μίμησιν. Critia 121. A: φύσεως θείας παραμενούσης. Legg. II. 664. D: διὰ θείας φήμης καταλελεῖφθαι. VII. 824: ὅσοις ἀνδρείας τῆς θείας ἐπιμελές. Phaedr. 246. D: κεκοινώνηκε ... μάλιστα τῶν περὶ τὸ σῶμα τοῦ θείου. Pol. VI. 486. A: ψυχῇ μελλούσῃ τοῦ ὅλου καὶ παντὸς ἀεὶ ἐπορέξεσθαι θείου τε καὶ ἀνθρωπίνου. Phaedr. 244. A: διὰ μανίας, θείᾳ μέντοι δόσει διδομένης. Pol. II. 366. C: θείᾳ φύσει δυσχεραίνων τὸ ἀδικεῖν. Legg. III. 691. E: φύσις τις ἀνθρωπίνη μεμιγμένη θείᾳ τινὶ δυνάμει. VI. 759. C: τῇ θείᾳ τύχῃ. IX. 875. C: θείᾳ μοίρᾳ γεννηθείς. X. 904. D: ἀρετῇ θείᾳ προςμίξασα. Ion. 534. C. al. Pol. VI. 500. C: θείῳ ... καὶ κοσμίῳ ὅ γε φιλόσοφος ὁμιλῶν. E: οἱ τῷ θείῳ παραδείγματι χρώμενοι ζωγράφοι. VIII. 546. B: θείῳ ... γεννητῷ. X. 611. E: ὡς ξυγγενὴς οὖσα τῷ τε θείῳ καὶ ἀθανάτῳ καὶ τῷ ἀεὶ ὄντι. Legg. II. 671. D: ὃν αἰδῶ τε καὶ αἰσχύνην θεῖον φόβον ὠνομάκαμεν. Tim. 36. E: θείαν ἀρχὴν ἤρξατο ἀπαύστου καὶ ἔμφρονος βίου. Legg. VII. 798. A: κατά τινα θείαν εὐτυχίαν. Epin. 979. B. Phaedr. 238. C: δοκῶ τι σοί, ὥσπερ ἐμαυτῷ, θεῖον πάθος πεπονθέναι; 242. C: ὥς τι ἡμαρτηκότα εἰς τὸ θεῖον. Phaed. 81. A: τὸ θεῖόν τε καὶ ἀθάνατον καὶ φρόνιμον. Soph. 254. B: πρὸς τὸ θεῖον ἀφορῶντα. Pol. II. 368. A: πάνυ γὰρ θεῖον πεπόνθατε εἰ cet. IX. 590. D: ἔχοντος ἐν αὐτῷ τὸ θεῖον ἄρχον. Tim. 72. D. Legg. IX. 871. C. Alc. I. 134. D: εἰς τὸ θεῖον καὶ λαμπρὸν ὁρῶντες. Theag. 131: αὐτὸ τὸ θεῖον τὸ σοὶ γιγνόμενον. Legg. I. 626. C: ὦ θεῖε. Pol. II. 383. C: εἰ μέλλουσιν ἡμῖν οἱ φύλακες θεοσεβεῖς τε καὶ θεῖοι γίγνεσθαι. Legg. XII. 951. B: εἰσὶ γὰρ ἐν τοῖς πολλοῖς ἄνθρωποι ἀεὶ θεῖοί τινες. Men. 81. B. Legg. VII. 818. B: ὅσαι θεῖαί γε ... τῶν ἀναγκῶν εἰσίν. Conv. 216. E: οὕτω θεῖα καὶ χρυσᾶ cet. Legg. V. 732. E. Pol. VII. 517. D: ἀπὸ θείων ... θεωριῶν ἐπὶ τὰ ἀνθρώπειά τις ἐλθών. Soph. 232. B: περὶ τῶν θείων, ὅσ' ἀφανῆ τοῖς πολλοῖς cet. Tim. 24. C. 69. C. Legg. VII. 809. C. Pol. VII. 540. C: ὡς εὐδαίμοσί τε καὶ θείοις. Legg. II. 666. D: θείοις ἀνδράσιν. VII. 817. A. Conv. 187. E: ἐν τοῖς ἄλλοις πᾶσι καὶ

τοῖς ἀνθρωπείοις καὶ τοῖς θείοις. Phaedr. 259. D: *(περὶ) λόγους οὖσαι θείους τε καὶ ἀνθρωπίνους.* Pol. V. 469. A: *πῶς χρὴ τοὺς δαιμονίους τε καὶ θείους τιθέναι.* Legg. XII. 945. C: *ὅμως δὲ πειρατέον εὐθυντάς τινας ἀνευρίσκειν θείους.* Men. 99. C. D. Tim. 44. D: *τὰς … θείας περιόδους δύο οὔσας.* Conv. 186. B: *καὶ κατ' ἀνθρώπινα καὶ κατὰ θεῖα πράγματα.* 215. C: *διὰ τὸ θεῖα εἶναι.* Pol. VII. 532. C: *πρὸς φαντάσματα θεῖα.* Tim. 90. C: *φρονεῖν … ἀθάνατα καὶ θεῖα.* Critia 107. D: *ὅτι τὰ … οὐράνια καὶ θεῖα ἀγαπῶμεν.* Legg. VI. 759. C: *τῶν … εἰς τὰ θεῖα ἁμαρτανόντων.* Euth. 5. A. Phaedr. 279. A: *(εἰ) ἐπὶ μείζω … τις αὐτὸν ἄγοι ὁρμὴ θειοτέρα.* Conv. 180. B: *θειότερον γὰρ ἐραστὴς παιδικῶν.* Alc. I. 133. C. Crat. 397. C: *ἴσως δ' ἔνια αὐτῶν καὶ ὑπὸ θειοτέρας δυνάμεως ἢ τῆς τῶν ἀνθρώπων ἐτέθη.* Pol. VII. 518. E: *θειοτέρου τινὸς … ὃ* cet. Legg. IV. 713. D. Polit. 310. A: *τοῦτον θειότερον εἶναι τὸν ξύνδεσμον ἀρετῆς μερῶν* cet. Phil. 33. B: *εἰ πάντων τῶν βίων ἐστὶ θειότατος.* Epin. 986. C. Legg. V. 726: *πάντων … τῶν αὐτοῦ κτημάτων μετὰ θεοὺς ψυχὴ θειότατον.* VI. 766. A: *ἄνθρωπος … θειότατον ἡμερώτατόν τε ζῶον γίγνεσθαι φιλεῖ.* Epin. 981. B. Menex. 244. D: *τό γε θειότατον πάντων.* Tim. 73. A: *ἀνυπήκοον τοῦ θειοτάτου τῶν παρ' ἡμῖν.* Ion. 530. B: *τῷ ἀρίστῳ καὶ θειοτάτῳ τῶν ποιητῶν.* Pol. IX. 589. E: *εἰ … τὸ ἑαυτοῦ θειότατον ὑπὸ τῷ ἀθεωτάτῳ … δουλοῦται.* Tim. 88. B: *διὰ τὸ θειότατον τῶν ἐν ἡμῖν.* Legg. V. 728. B. I. 629. B: *ποιητὰ … θειότατε.* Polit. 269. D: *τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχειν ἀεὶ καὶ ταὐτὸν εἶναι τοῖς πάντων θειοτάτοις προσήκει μόνοις.* Tim. 85. A: *ἐπὶ τὰς περιόδους … τὰς ἐν τῇ κεφαλῇ θειοτάτας οὔσας.*

θεῖος, ὁ, patruus et *avunculus.* Legg. XI. 926. A: *τὴν τοῦ θείου θυγατέρα.* Charm. 154. B: *τοῦ ἡμετέρου θείου υἱόν.* 158. A. Gorg. 471. B: *τοῦτον αὐτὸν τὸν δεσπότην καὶ θεῖον.*

θειῶ, consecro. Legg. VI. 771. B: *εὐτυχέστερον ἐθείωσαν τὴν διανομήν.*

θείως, divine. Theaet. 154. D: *εὖ γε … καὶ θείως.*

θέλγω, mulceo. Conv. 197. E: *ἣν ᾄδει θέλγων πάντων θεῶν τε καὶ ἀνθρώπων νόημα.*

θέλω, v. *ἐθέλω.*

θέμις, ἡ, ius. Conv. 188. D: *ὅσα τείνει πρὸς θέμιν καὶ ἀσέβειαν.* Legg. XI. 925. D: *κατ' ἀγχιστείαν καὶ θέμιν.* III. 680. B: *θέμιστες* (Hom.). Absol. et c. verbo *ἐστί* valet *fas est, licet.* Phaedr. 250. B: *ἣν θέμις λέγειν μακαριωτάτην.* Gorg. 505. D: *οὐδὲ τοὺς μύθους, φασί, μεταξὺ θέμις* (v. *θέμις εἶναι*) *καταλείπειν.* Theaet. 146. C: *οὔτε θέμις … ἀνδρὶ σοφῷ ἐπιτάττοντι νεώτερον ἀπειθεῖν.* 151. D. Soph 258. B: *εἰ θέμις εἰπεῖν.* Polit. 269. E: *κινεῖν δὲ*

τούτῳ ... οὐ θέμις. Conv. 195. A. Pol. III. 398. A. IV. 422. D: οὐδ' ἡμῖν θέμις (χρυσίῳ — χρῆσθαι). V. 480. Tim. 29. A: ὃ μηδ' εἰπεῖν τινὶ θέμις. 30. A: θέμις δὲ οὔτ' ἦν οὔτ' ἔστι τῷ ἀρίστῳ δρᾶν ἄλλο (ἄλλο τι?) πλὴν τὸ κάλλιστον. Legg. IV. 717. B. IX. 875. C: οὐδὲ θέμις ἐστὶ νοῦν οὐδενὸς ὑπήκοον οὐδὲ δοῦλον, ἀλλὰ πάντων ἄρχοντα εἶναι. Epin. 986. B: οἵους οὐδὲ θέμις εἰπεῖν ἡμῶν οὐδενί. Apol. 21. B: οὐ γὰρ θέμις αὐτῷ. Hipp. mai. 304. A.

θεμιστεύω, *ius dico.* Gorg. 526. D. et Legg. III. 680. B. (Hom.).

θεμιτόν, *fas.* Epin. 992. A: ἀμελῆσαι ... οὐ θεμιτόν ἐστι θεῶν. Phaedr. 256. D: ὡς οὐ θεμιτὸν εἶναι λύσαντας εἰς ἔχθραν ποτὲ ἐλθεῖν. Gorg. 497. C: ἐγὼ δ' οὐκ ᾤμην θεμιτὸν εἶναι. Phaed. 61. C: οὐ γάρ φασι θεμιτὸν εἶναι. E. 67. B: μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ. Apol. 30. C.

θεογονία, ἡ, *deorum origo.* Legg. X. 886. E: θεογονίαν διεξέρχονται. Epin. 980. C: θεογονίαν ... καὶ ζωογονίαν.

θεοειδής, ὁ ἡ, *deo similis, divinus.* Phaed. 95. C: ὅτι ἰσχυρόν τί ἐστιν ἡ ψυχὴ καὶ θεοειδές. Phaedr. 251. A: ὅταν θεοειδὲς πρόσωπον ἴδῃ. Pol. VI. 501. B: ὃ δὴ Ὅμηρος ἐκάλεσεν ἐν τοῖς ἀνθρώποις ἐγγιγνόμενον θεοειδές τε καὶ θεοείκελον. Epin. 980. D: θεοειδέστερον.

θεοείκελος, ὁ ἡ, *deo similis.* Pol. VI. 501. B. (Hom.).

θεολογία, ἡ, *ratio de deo dicendi* vel *deum adumbrandi.* Pol. II. 379. A: οἱ τύποι περὶ θεολογίας τίνες ἂν εἶεν; Seq. οἷος τυγχάνει ὁ θεὸς ὢν ἀεὶ δήπου ἀποδοτέον.

θεόμαντις, ὁ, *vates divinus.* Apol. 22. C: ὥσπερ οἱ θεομάντεις καὶ οἱ χρησμῳδοί. Id. Men. 99. C.

θεομαχία, ἡ, *deorum pugna.* Pol. II. 378. D: θεομαχίας ὅσας Ὅμηρος πεποίηκεν οὐ παραδεκτέον εἰς τὴν πόλιν.

θεομισής, ὁ ἡ, *deo invisus; impius.* Pol. X. 612. E: ὁ μὲν θεοφιλὴς ἂν εἴη, ὁ δὲ θεομισής. Euth. 7. A: τὸ δὲ θεομισὲς καὶ ὁ θεομισὴς ἀνόσιος. Legg. IX. 879. C: αἰσχρὸν καὶ θεομισές. Euth. 8. A. 9. C: θεομισὲς ... ἔργον. Clit. 407. D: ὡς αἰσχρὸν καὶ θεομισὲς ἡ ἀδικία. Euth. 8. A: θεομισῆ τε καὶ θεοφιλῆ ταὐτὰ ἂν εἴη. Legg. VIII. 838. B: θεομισῆ ... καὶ αἰσχρῶν αἴσχιστα (ταῦτα εἶναι). XI. 916. E: ὁ μὴ θεομισέστατος ἔσεσθαι μέλλων.

θεονόα, ἡ, i. q. θεοῦ νόησις. Crat. 407. B. (v. ἡ θεονόη).

θεοπολῶ, *rem divinam facio.* Legg. X. 909. D: διὰ τὸ μὴ ἐξεῖναι θεοπολεῖν παρὰ νόμον.

θεός, ὁ et ἡ, *deus* et *dea* (tam universe quam separatim deus singularis, velut Apollo, Minerva al.). Phaedr. 266. B: εἰ ... ὀρθῶς ἢ μὴ προσαγορεύω, θεὸς οἶδε (Id. Pol. VII. 517. B. al.). Phaed. 62. C: πρὶν ἀνάγκην τινὰ ὁ θεὸς ἐπι-

πέμψη. Theaet. 176. C: θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ' ὡς οἷόν τε δικαιότατος. Pol. II. 379. A: οὐκοῦν ἀγαθὸς ὅ γε θεὸς τῷ ὄντι τε καὶ λεκτέον οὕτως; C: οὐδ' ἄρα ... ὁ θεὸς ... πάντων ἂν εἴη αἴτιος cet. 381. B: ὁ θεός γε καὶ τὰ τοῦ θεοῦ πάντῃ ἄριστα ἔχει. Ib. ταύτῃ ... ἥκιστ' ἂν πολλὰς μορφὰς ἴσχοι ὁ θεός. 382. E: κομιδῇ ἄρα ὁ θεὸς ἁπλοῦν καὶ ἀληθὲς ἔν τε ἔργῳ καὶ ἐν λόγῳ. Legg. I. 642. D: (ἃς) θυσίας ὁ θεὸς ἀνεῖλε (Id. IX. 865. D.). IV. 715. E: ὁ ... θεὸς ... ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων. 716. C. Phil. 26. B: αὕτη ... ἡ θεός. Tim. 24. C. Pol. VI. 493. A: θεοῦ μοῖραν αὐτὸ σῶσαι. V. 469. A: διαπυθόμενοι ... τοῦ θεοῦ cet. Legg. I. 642. D: κατὰ τὴν τοῦ θεοῦ μαντείαν. III. 683. C: ἡ ἐκ θερινῶν εἰς τὰ χειμερινὰ τοῦ θεοῦ τρεπομένου (ἡμέρα). VI. 773. D: ὑπὸ νήφοντος ἑτέρου θεοῦ (κολαζόμενος οἶνος). Alc. I. 105. E: μετὰ τοῦ θεοῦ μέντοι. Conv. 181. C: ἔστι γὰρ καὶ ἀπὸ τῆς θεοῦ νεωτέρας τε οὔσης πολὺ ἢ τῆς ἑτέρας cet. Tim. 23. D: τῆς θεοῦ χάριν. 24. B. Critia 110. B. Legg. VII. 796. C: τὴν τῆς θεοῦ χάριν τιμῶντας. Prot. 317. B: σὺν θεῷ εἰπεῖν. Id. Theaet. 151. B. Legg. IX. 858. B. Pol. II. 381. C: ἀδύνατον ἄρα ... καὶ θεῷ ἐθέλειν αὑτὸν ἀλλοιοῦν. 382. D: ποιητὴς ... ψευδὴς ἐν θεῷ οὐκ ἔνι. Menex. 245. E: σὺν θεῷ (*deo iuvante*) ἄμεινον ἢ τότε ἐθέμεθα τὸν πόλεμον. Pol. I. 327. A: προσευξόμενος ... τῇ θεῷ. 328. A. Legg. XI. 914. B. Phaedr. 246. C: πλάττομεν οὔτε ἰδόντες οὔθ' ἱκανῶς νοήσαντες θεὸν ἀθάνατόν τι ζῷον cet. Phaed. 62. D: τὸ θεόν τε εἶναι τὸν ἐπιμελόμενον ἡμῶν καὶ ἡμᾶς ἐκείνου κτήματα εἶναι. Pol. II. 379. C: τῶν δὲ κακῶν ἄλλ' ἄττα δεῖ ζητεῖν τὰ αἴτια, ἀλλ' οὐ τὸν θεόν. 380. C: μὴ πάντων αἴτιον τὸν θεόν, ἀλλὰ τῶν ἀγαθῶν. D: ἁπλοῦν τε εἶναι (τὸν θεὸν) καὶ πάντων ἥκιστα τῆς ἑαυτοῦ ἰδέας ἐκβαίνειν. 281. C: οὐ γάρ που ἐνδεᾶ γε φήσομεν τὸν θεὸν κάλλους ἢ ἀρετῆς εἶναι. IV. 443. C: κατὰ θεόν τινα (*deo aliquo duce*). Legg. III. 682. A: κατὰ θεόν πως εἰρημένα καὶ κατὰ φύσιν. E: ὥσπερ κατὰ θεόν. IV. 722. C: κατὰ θεόν τινα γεγονός. Epin. 975. B. Euthyd. 272. E. Alc. II. init. ἆρά γε πρὸς τὸν θεὸν προσευξόμενος πορεύει; Ep. VI. 323. C: τὸν τῶν πάντων θεὸν ἡγεμόνα τῶν τε ὄντων καὶ τῶν μελλόντων. Tim. 21. A: τὴν θεὸν ... ἐγκωμιάζειν. Critia 110. B. Legg. VII. 806. B: μιμήσασθαι τὴν θεόν. Polit. 269. E: μήτ' αὖ δύο τινὲ θεὼ φρονοῦντε ἑαυτοῖς ἐναντία στρέφειν αὐτόν (τὸν κόσμον). Prot. 320. C: ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ γένη οὐκ ἦν. D: τυποῦσιν αὐτὰ θεοὶ γῆς ἔνδον cet. Phaedr. 247. A: ὅσοι ἐν τῷ τῶν δώδεκα ἀριθμῷ τεταγμένοι θεοὶ ἄρχοντες. Ax. 371. A: ἐν ᾗ οἱ δύο θεοὶ (Apollo et Diana) ἐγένοντο. Pol. V. 474. E: λευκοὺς ... θεῶν παῖδας εἶναι. VI. 508. A: τίνα ... τῶν ἐν οὐρανῷ θεῶν. II. 378. B: οὐδέ γε ... ὡς θεοὶ θεοῖς πολεμοῦσί τε καὶ ἐπιβουλεύουσι cet.

Legg. VI. 782. C: (ὅτε) *θύματα ... οὐκ ἦν τοῖς θεοῖσι ζῷα*. IX. 879. B: *ἔν τε θεοῖσι καὶ ἐν ἀνθρώποις*. Crat. 397. D: *ἀπὸ ταύτης τῆς φύσεως τῆς τοῦ θεῖν θεοὺς ἐπονομάσαι* (*φαίνονταί μοι*). Phil. 33. B: *οὔκουν εἰκός γε οὔτε χαίρειν θεοὺς οὔτε τὸ ἐναντίον*. Pol. II. 365. D: *ἀλλὰ δὴ θεοὺς οὔτε λανθάνειν οὔτε βιάσασθαι δυνατόν*. Legg. X. 909. E: *ἱερὰ καὶ θεοὺς* (*deorum imagines*) *οὐ ῥάδιον ἱδρύεσθαι*. XII. 950. D: *πᾶσα δ' ἐλπὶς αὐτὴν ... ἥλιον ὄψεσθαι καὶ τοὺς ἄλλους θεούς*. Epin. 985. D: *τοὺς ... ὄντως ἡμῖν φανεροὺς ὄντας θεούς*.

θεοσέβεια, ἡ, *pietas in deos*, *deorum cultus*. Epin. 985. D: *ἐπὶ θεοσέβειαν ... τρέψαι πόλιν ἑαυτοῦ*. 989. E.

θεοσεβής, ὁ ἡ, *religiosus*, *pius*. Epin. 977. E: *ἐν ᾧ καὶ τὸ θεοσεβὲς γνωρισθήσεται*. Crat. 394. D: *ὅταν ἐξ ἀνδρὸς ἀγαθοῦ καὶ θεοσεβοῦς ἀσεβὴς γένηται*. Legg. XII. 967. D: *οὐκ ἔστι ποτὲ γενέσθαι βεβαίως θεοσεβῆ θνητῶν ἀνθρώπων οὐδένα ὃς ἂν μὴ* cet. VIII. 841. C: *τὸ ... θεοσεβὲς* (*γένος*). Pol. II. 383. C: *εἰ μέλλουσιν ἡμῖν οἱ φύλακες θεοσεβεῖς τε καὶ θεῖοι γίγνεσθαι*. Tim. 41. E: *ζώων τὸ θεοσεβέστατον*. Legg. X. 902. B: *θεοσεβέστατον αὐτό ἐστι πάντων ζώων ἄνθρωπος*.

θεουδής, ὁ ἡ, *pius*. Pol. II. 363. B. (Hom.).

θεοφιλής, ὁ ἡ, *deo carus*; etiam *beatus* vel *felix*. Phil. 39. E: *δίκαιος ἀνὴρ καὶ εὐσεβὴς ... ἆρ' οὐ θεοφιλής ἐστιν*; Pol. II. 382. E: *ἀλλ' οὐδείς ... τῶν ἀνοήτων καὶ μαινομένων θεοφιλής*. X. 612. E. Euth. 7. 8. Menex. 237. C: *ὅτι τυγχάνει οὖσα θεοφιλής* (*ἡ χώρα*). Tim. 69. E: *θεοφιλὲς σῶμα ἐγένετο*. Legg. VII. 822. C. Euth. 7. A. 8. A. al. Conv. 212. A: *ὑπάρχει θεοφιλεῖ γενέσθαι*. Pol. X. 612. E. Legg. III. 690. C: *θεοφιλῆ ... καὶ εὐτυχῆ τινα λέγοντες ἑβδόμην ἀρχήν*. XI. 931. E: *ὥστε ... πάντων πρὸς θεοφιλῆ μοῖραν κυριώτατα ἀγαλμάτων ἂν κεκτῇτο*. Euth. 8. A: *θεομισῆ τε καὶ θεοφιλῆ ταὐτὰ ἂν εἴη*. Pol. VIII. 560. C: *ἐν ἀνδρῶν θεοφιλῶν ... διανοίαις*. Phil. 40. B: *διὰ τὸ θεοφιλεῖς εἶναι*. Pol. II. 383. B: *θεοφιλεῖς ἐμὰς τύχας* (Aesch.). Pol. VI. 501. C: *ἕως ὅτι μάλιστα ἀνθρώπεια ἤθη ... θεοφιλῆ ποιήσειαν*. II. 362. C: *ὥστε καὶ θεοφιλέστερον αὐτὸν εἶναι μᾶλλον προσήκειν ... ἢ τὸν δίκαιον*. Ep. II. 313. E: *θεοφιλεστέραν* (*ἐμπορίαν*).

θεοφιλῶς, *ita* (v. c. agere) *ut dii gratum habeant*. Alc. I. 134. D: *θεοφιλῶς πράξετε*.

θεραπαινίς, ἡ, *ancilla*. Theaet. 174. A: *χαρίεσσα θεραπαινίς*. Legg. VII. 808. A: *δέσποιναν ἐν οἰκίᾳ ὑπὸ θεραπαινίδων ἐγείρεσθαί τινων*.

θεραπεία, ἡ, *ministerium*, *officium*; *curatio* (etiam *sanatio*); *procuratio*; *confectio*; *cultus* (v. c. deorum, ut vern. *Gottesdienst*). Gorg. 501. A: *πρὸς ἣν* (*ἡδονὴν*) *ἡ θεραπεία αὐτῇ ἐστιν ἅπασα*. 517. E: *ἢ δὴ τῷ ὄντι ἐστὶ σώματος θεραπεία*. Soph.

219. A: ὅση περὶ τὸ θνητὸν πᾶν σῶμα θεραπεία. Tim. 90. C: θεραπεία ... παντὶ παντὸς μία. Euth. 13. A: ἡ ... ἱππικὴ ἵππων θεραπεία. Ib. κυνῶν θεραπεία. D: τίς δὴ θεῶν θεραπεία εἴη ἂν ἡ ὁσιότης; Alc. I. 122. A: ἔστι δὲ τοῦτο (μαγεία) θεῶν θεραπεία. Theag. 121. B: θεραπεία τοῦ φύντος πολλὴ καὶ χαλεπὴ ... γίγνεται. Def. 414. B: ἁγνεία ... τῆς θεοῦ τιμῆς κατὰ φύσιν θεραπεία. Prot. 245. A: ἡ τῶν καμνόντων τῆς θεραπείας μάθησις. Phaed. 62. D: ἐκ ταύτης τῆς θεραπείας ἀπιόντας ἐν ᾗ ἐπιστατοῦσιν αὐτῶν cet. Gorg. 464. B: μιᾶς ... οὔσης τῆς τοῦ σώματος θεραπείας. Polit. 281. B. Legg. IV. 723. E: (περὶ) προγόνων ... θεραπείας. VII. 806. A: θεραπείας καὶ παιδοτροφίας. XI. 930. E: περὶ θεῶν θεραπείας. Phaed. 66. D: δουλεύοντες τῇ τούτου (τοῦ σώματος) θεραπείᾳ. Legg. IV. 716. D: προσομιλεῖν ... τοῖς θεοῖς εὐχαῖς ... καὶ ξυμπάσῃ θεραπείᾳ θεῶν. Epin. 988. A: πάσῃ τῇ κατὰ νόμους θεραπείᾳ (χρωμένους). Phaedr. 239. C: τὴν ... τοῦ σώματος ἕξιν τε καὶ θεραπείαν cet. 255. A: ἅτε ... πᾶσαν θεραπείαν ὡς ἰσόθεος θεραπευόμενος. Gorg. 521. A: ἐπὶ ποτέραν ... με παρακαλεῖς τὴν θεραπείαν τῆς πόλεως; Theaet. 149. E: θεραπείαν ... τῶν ἐκ γῆς καρπῶν. Polit. 278. E: τὴν τῶν κατὰ πόλιν θεραπείαν. 280. C: τὴν τῶν ὁλοσχίστων σκεπασμάτων θεραπείαν. 281. B. Pol. IV. 443. E: ἢ περὶ σώματος θεραπείαν. V. 455. C: τὴν τῶν ποπάνων τε καὶ ἑψημάτων θεραπείαν. VII. 533. B: πρὸς θεραπείαν τῶν φυομένων τε καὶ συντιθεμένων. IX. 585. D: τῶν γενῶν ... τῶν περὶ τῆς ψυχῆς θεραπείαν. Euth. 12. E: τὸ περὶ τὴν τῶν θεῶν θεραπείαν. Lach. 185. E: εἴ τις ... τεχνικὸς περὶ ψυχῆς θεραπείαν. Pol. IV. 427. B: καὶ ἄλλαι θεῶν τε καὶ δαιμόνων καὶ ἡρώων θεραπεῖαι. Euth. 13. A. Prot. 354. A: τὰς ὑπὸ τῶν ἰατρῶν θεραπείας τὰς διὰ καύσεων ... γιγνομένας. Phaed. 64. D: τὰς περὶ τὸ σῶμα θεραπείας. Polit. 298. E: τὰς τῶν καμνόντων θεραπείας ποιεῖσθαι. Pol. IV. 425. B: γονέων θεραπείας. Tim. 87. C: τὸ περὶ τὰς τῶν σωμάτων καὶ διανοήσεων θεραπείας. Legg. X. 886. C: εἰς ... γονέων ... θεραπείας καὶ τιμάς. Eryx. 406: πρὸς τὰς τοῦ σώματος θεραπείας τῶν ἐνδειῶν.

θεράπευμα, τό, *officium; cultus.* Def. 415. A: θεράπευμα θεοῦ. Legg. IV. 718. A: ὅσα ... ξενικὰ θεραπεύματα. Gorg. 524. B: τὸ ... σῶμα τὴν φύσιν τὴν αὑτοῦ καὶ τὰ θεραπεύματα καὶ τὰ παθήματα (ἔχει), ἔνδηλα πάντα.

θεραπευτής, ὁ, *curator; cultor.* Pol. I. 341. C: τῶν καμνόντων θεραπευτής. Gorg. 517. E: θεραπευτὴν εἶναι σώματος. Pol. II. 369. D: ἤ τιν' ἄλλον τῶν περὶ τὸ σῶμα θεραπευτήν; Legg. V. 740. B: θεραπευτὴν θεῶν καὶ γένους καὶ πόλεως. IX. 878. A: θεραπευτὴν ὁσίων τε καὶ ἱερῶν. Phaedr. 252. C: ὅσοι ... Ἄρεως ... θεραπευταί. Gorg. 518. B: σωμάτων θεραπευταί.

θεραπευτικός, ή, όν, officiosus, colens vel *excolens; fem. curatio.* Ep. IV. 321. B: ὅτι δοκεῖς τισὶν ἐνδεεστέρως τοῦ προσήκοντος θεραπευτικὸς εἶναι. Def. 412. E: δύναμις θεραπευτικὴ θεῶν ἑκούσιος. 416: παιδεία δύναμις θεραπευτικὴ ψυχῆς. Polit. 275. E: ἤ τινα ἀγελαιοκομικὴν ἢ θεραπευτικὴν cet. 282. A: πᾶσαν τὴν περὶ ταῦτα θεραπευτικήν.

θεραπευτός, ὁ ἡ, qui coli vel *excoli potest.* Prot. 325. B: διδακτοῦ δὲ ὄντος καὶ θεραπευτοῦ (τῆς ἀρετῆς).

θεραπεύω, ministro, servio, inservio; colo; observo; instituo, excolo; tracto; curo; sano. Gorg. 501. A: τούτου οὗ θεραπεύει. Legg. IV. 720. D: ὁ ... ἐλεύθερος (ἰατρὸς) ὡς ἐπὶ τὸ πλεῖστον τὰ τῶν ἐλευθέρων νοσήματα θεραπεύει τε καὶ ἐπισκοπεῖ. Lys. 209. A. Gorg. 513. E: ὃ θεραπεύομεν. Pol. III. 408. E: οὐ γὰρ ... σώματι σῶμα θεραπεύουσιν. Euth. 13. D: ἥνπερ ... οἱ δοῦλοι τοὺς δεσπότας θεραπεύουσιν. Men. 91. A: ἢ ... τοὺς γονέας τοὺς αὑτῶν θεραπεύουσι. Gorg. 501. C: ὅτου ἂν τις τὴν ἡδονὴν θεραπεύῃ. Pol. IV. 426. C: ὃς δ' ἂν σφᾶς ... ἥδιστα θεραπεύῃ. Legg. XI. 915. A. 931. A. Conv. 175. C: νῦν οὖν ... θεραπεύετε. Gorg. 513. D: ἐπὶ τὸ ἕκαστον θεραπεύειν, καὶ σῶμα καὶ ψυχήν. Crat. 440. C: ἐπιτρέψαντα ὀνόμασιν αὑτὸν καὶ τὴν αὑτοῦ ψυχὴν θεραπεύειν. Conv. 184. C: ἐάν τις ἐθέλῃ τινὰ θεραπεύειν. Pol. II. 362. C: θεραπεύειν τοῦ δικαίου πολὺ ἄμεινον τοὺς θεοὺς καὶ τῶν ἀνθρώπων οὓς ἂν βούληται. IV. 426. D: τοὺς ἐθέλοντας θεραπεύειν τὰς τοιαύτας πόλεις. V. 467. A: θεραπεύειν πατέρας τε καὶ μητέρας. Legg. I. 650. B: ἧς (τέχνης) ἐστὶ ταῦτα θεραπεύειν. III. 690. D. Euth. 13. A. Charm. 156. B. Phaedr. 233. B: οὐ τὴν παροῦσαν ἡδονὴν θεραπεύων συνέσομαί σοι. Phaed. 81. B: τοῦτο (τὸ σῶμα) θεραπεύουσα. Tim. 90. C: ἀεὶ θεραπεύοντα τὸ θεῖον. Polit. 293. B: οἱ θεραπεύοντες. Legg. XI. 920. E. Gorg. 464. C: ἀεὶ πρὸς τὸ βέλτιστον θεραπευουσῶν. Legg. VI. 776. B: θεραπεύοντας ἀεὶ θεοὺς κατὰ νόμους. Polit. 281. E: τὰς ... αὐτὰ θεραπευούσας καὶ δημιουργούσας αἰτίας. Clit. 407. B: οὐδέ γ' ἔτι πρότερον ὑμᾶς αὐτοὺς οὕτως ἐθεραπεύσατε. Ep. I. 309. C: ὥστε κομισάμενος ἄλλον τινὰ τῶν ἑταίρων θεράπευσον, ὥσπερ ἐμέ. Legg. V. 735. B: τὰ δὲ θεραπεύσῃ. Gorg. 516. E: ἐπειδὰν ... θεραπεύσωσι τοὺς ἵππους. Prot. 312. C: ὅτι μέλλεις τὴν ψυχὴν τὴν σαυτοῦ παρασχεῖν θεραπεῦσαι ἀνδρὶ ... σοφιστῇ. Polit. 288. E. Charm. 156. C: τὴν κεφαλὴν ... θεραπεῦσαι. Lach. 185. E. Pol. III. 403. D: τὴν διάνοιαν ἱκανῶς θεραπεύσαντες. IV. 429. D: οὐκ ὀλίγῃ παρασκευῇ θεραπεύσαντες (ἔρια). IX. 590. E: τὸ βέλτιστον θεραπεύσαντες. Phaedr. 239. C: οἵαν (θεραπείαν) τε καὶ ὡς θεραπεύσει. Pol. V. 469. A: ὡς δαιμόνων, οὕτω θεραπεύσομέν τε καὶ προσκυνήσομεν αὐτῶν τὰς θήκας. III. 410. A: αἳ τῶν πολιτῶν σοι τοὺς μὲν εὐφυεῖς τὰ σώματα καὶ τὰς ψυ-

γὰς θεραπεύσουσι, τοὺς δὲ μὴ cet. Alc. I. 126. B: ἄμεινον θεραπεύεται. 131. B. Pol. III. 410. C: ἵνα τῇ μὲν τὸ σῶμα θεραπεύοιντο, τῇ δὲ τὴν ψυχήν. Legg. I. 649. B: ὅτι δύ' ἔφαμεν ἡμῶν ἐν ταῖς ψυχαῖς δεῖν θεραπεύεσθαι. C. Menex. 249. C: ῥᾷστοι θεραπεύειν τε καὶ θεραπεύεσθαι. Phaed. 255. A: πᾶσαν θεραπείαν ... θεραπευόμενος. Legg. IX. 865. B: ἂν ὁ θεραπευόμενος ὑπ' αὐτῶν ἀκόντων τελευτᾷ. Euth. 13. B: τοῦ θεραπευομένου. C. Pol. I. 345. D: τῷ ἀρχομένῳ τε καὶ θεραπευομένῳ. Legg. XI. 931. E: τὰ ... θεραπευόμενα ὑφ' ἡμῶν ὅσα ἔμψυχα ξυνεύχεται ἑκάστοτε. Polit. 295. C: ἰατρὸν μέλλοντα ... ἀπέσεσθαι τῶν θεραπευομένων συχνόν. 293. C: ἕωςπερ ἂν ... σώζωσιν οἱ θεραπεύοντες ἕκαστοι τὰ θεραπευόμενα. Legg. III. 684. C: ἰᾶσθαι τὰ θεραπευόμενα σώματα. Ep. I. 309. D: κἀγὼ γὰρ ἱκανῶς ὑπὸ σοῦ τεθεράπευμαι. Legg. VI. 763. D: τεθεραπευμένα (ὕδατα). Charm. 157. B: ὃς ἂν μὴ τὴν ψυχὴν πρῶτον παράσχῃ τῇ ἐπῳδῇ ὑπὸ σοῦ θεραπευθῆναι. Lach. 179. B: πῶς ἂν θεραπευθέντες γένοιντο ἄριστοι. Prot. 325. C: μὴ μαθοῦσι μηδὲ θεραπευθεῖσιν εἰς ἀρετήν. Alc. I. 135. E: εἰ ... ὑπὸ τούτου πάλιν θεραπεύσεται. Verb. Pol. III. 408. B: οὐδὲ θεραπευτέον αὐτούς. Tim. 88. C: καὶ τὰ μέρη θεραπευτέον.

θεραπίς, ἡ, *serviens*. Menex. 244. E: ὡς ἀεὶ λίαν φιλοικτίρμων ἐστὶ καὶ τοῦ ἥττονος θεραπίς (ἡ πόλις).

θεράπων, ὁ, *minister*, *servus*. Conv. 203. C: διὸ δὴ καὶ τῆς Ἀφροδίτης ἀκόλουθος καὶ θεράπων γέγονεν ὁ Ἔρως. Phaed. 85. A: οὗπερ (θεοῦ) εἰσὶ θεράποντες. Pol. IX. 579. A: (οὐκοῦν) καὶ κόλαξ αὐτὸς ἂν θεραπόντων ἀναφανείη; Legg. I. 633. C: ἄνευ θεραπόντων αὐτοῖς ἑαυτῶν διακονήσεις. Alc. I. 122. C: θεραπόντων πλήθους ἀκολουθίας.

θερίζω, *meto*. Phaedr. 260. D: καρπὸν ... θερίζειν. Alc. I. 125. B: ἀλλὰ θεριζόντων; Theag. 124. A: τῶν θεριζόντων ... καὶ τῶν τρυγώντων cet.

θερινός, ή, όν, *aestivus*. Legg. XI. 915. D: ἐν ᾧ τρέπεται θερινὸς ἥλιος εἰς τὰ χειμερινά. XII. 952. D: θερινὸς ὡς τὰ πολλὰ διατελῶν ταῖς φοιτήσεσι (ξένος). Epin. 987. A: διὰ τὸ κάλλος τῆς θερινῆς ὥρας, ἣν Αἴγυπτός τε καὶ Συρία ἱκανῶς κέκτηται. D: τῆς θερινῆς φύσεως. Phaedr. 230. C: θερινόν τε καὶ λιγυρὸν ὑπηχεῖ τῷ τῶν τεττίγων χορῷ. Epin. 987. D: ἡ δ' ὑστεροῦσα ἡμῖν εἰς τὸ θερινὸν φύσις τοῦ περὶ τὸν ἐκεῖ τόπον. Legg. III. 683. C: ἡ ἐκ θερινῶν εἰς τὰ χειμερινὰ τοῦ θεοῦ τρεπομένου (ἡμέρα). VI. 767. C: μετὰ θερινὰς τροπάς.

θέρμα, ἡ, *calor*. Theaet. 178. C: οἷον θέρμα (sq. ταύτην τὴν θερμότητα).

θερμαίνω, *calefacio*; pass. *calefio*, *incalesco*. Phaedr. 268. A: ὥστε θερμαίνειν τε ... καὶ ψύχειν. Tim. 46. D: ψύχοντα καὶ θερμαίνοντα. 79. E: εἰς τὸ πῦρ ἐμπῖπτον θερ-

μαίνεται. 82. A: θερμαίνεται ... ὅσαπερ ἂν πρότερον ψύχηται. Phaedr. 251. C: (ὅταν) θερμαίνηται. Phaed. 63. D: θερμαίνεσθαι μᾶλλον διαλεγομένους. 71. B: ψύχεσθαι καὶ θερμαίνεσθαι. Theaet. 186. D. Phil. 46. C: (ὁπόταν) θερμαινόμενος ἐνίοτε ψύχηται. Tim. 84. B: ὑπ' εὐρῶτος θερμαινόμενον (ὀστοῦν). Phaedr. 251. B: ἐθερμάνθη. Ib. θερμανθέντος.

θερμαντικός, ή, όν, *calefaciens*. Tim. 60. A: τὸ ... τῆς ψυχῆς μετὰ τοῦ σώματος θερμαντικὸν οἶνος. 67. E: ὅσα θερμαντικὰ ὄντα δριμέα ἐκαλέσαμεν.

θερμός, ή, όν, *calidus*. Tim. 85. D: θερμὴ καὶ ὑγρὰ ... ἐμπίπτουσα (χολή). Phaed. 96. B: ἐπειδὰν τὸν θερμὸν καὶ τὸ ψυχρὸν σηπεδόνα τινὰ λάβῃ. Theaet. 153. A: τὸ ... θερμόν τε καὶ πῦρ ... αὐτὸ γεννᾶται ἐκ φορᾶς καὶ τρίψεως. Tim. 76. B. Locr. 100. E: τὸ ... θερμὸν λεπτομερές τε καὶ διαστατικὸν τῶν σωμάτων. Phaed. 86. B: ὑπὸ θερμοῦ καὶ ψυχροῦ. Pol. IV. 437. D: δίψα ... θερμοῦ ποτοῦ ἢ ψυχροῦ. E. Critia 117. A: τοῦ θερμοῦ νάματος. Lys. 215. E. Phil. 32. D: καθάπερ θερμῷ καὶ ψυχρῷ. Conv. 186. D. Tim. 74. C: θερμὴν ... νοτίδα ἐντὸς ἑαυτῆς ἔχουσαν. Soph. 242. D: θερμὸν καὶ ψυχρόν. Crat. 413. C: αὐτὸ τὸ θερμὸν τὸ ἐν τῷ πυρὶ ἐνόν. Tim. 50. A. 61. D: ᾗ πῦρ θερμὸν λέγομεν. Locr. 103. A: θερμαὶ ... γιγνόμεναι (κράσιες). Theaet. 171. E: θερμά, ξηρά cet. Conv. 188. A. Pol. IV. 438. C. Tim. 33. A. 67. D: τοῖς περὶ τὴν σάρκα θερμοῖς καὶ ψυχροῖς. Critia 117. B: τοῖς θερμοῖς λουτροῖς. Euthyd. 284. E: τοὺς θερμούς. Legg. VI. 761. C: γεροντικὰ λουτρὰ θερμά. Phil. 24. D: οὐ ... θερμότερον οὐδὲ ψυχρότερον (v. θερμοτέρω — ψυχροτέρω). A: θερμοτέρου καὶ ψυχροτέρου πέρι. B: ἐν ... τῷ θερμοτέρῳ. 25. C: θερμότερον ἐφθεγγόμεθα ... τι καὶ ψυχρότερον. Pol. III. 387. C: μὴ ... θερμότεροι (ἀθυμότεροι? Sic Ang.) καὶ μαλακώτεροι τοῦ δέοντος γένωνται ἡμῖν. Tim. 79. E: τῶν κατὰ τὴν ἑτέραν ἔξοδον θερμοτέρων γιγνομένων.

θερμότης, ἡ, *calor*. Phaedr. 251. B: θερμότης ἀήθης. Phaed. 105. B. 106. B: ἡ ἐν τῷ πυρὶ θερμότης. Pol. IV. 437. D: ἐὰν μέν τις θερμότης τῷ δίψει προσῇ. Charm. 168. E. Theaet. 182. A: τῆς θερμότητος ... γένεσιν. Pol. I. 335. D: οὐ γὰρ θερμότητος ... ἔργον ψύχειν. Tim. 79. E. Locr. 101. D: ὑπὸ τᾶς φυσικᾶς θερμότατος. Tim. 65. E: τῇ τοῦ στόματος θερμότητι. 85. E. Epin. 988. C. Theaet. 178. C: ταύτην τὴν θερμότητα. Tim. 83. C: διὰ θερμότητα. Crat. 432. B: εἴ τις θεῶν ... μαλακότητας καὶ θερμότητας τὰς αὐτὰς ἀποδοίη. Legg. X. 897. A.

θερμῶς, *calide*. Euthyd. 284. E: τοὺς θερμοὺς θερμῶς (λέγουσι);

θέρος, τό, *aestas*. Conv. 220. D: καὶ γὰρ θέρος τότε γε ἦν. Ep. VII. 345. D. Phaedr. 276. B: θέρους. Pol. I. 350. D: ἅτε καὶ θέρους ὄντος. II. 372. A. Tim. 74. C. 76

D: θέρους χειμῶνός τε. Critia 112. C. Legg. XII. 945. E: μετὰ τροπὰς ἡλίου τὰς ἐκ θέρους εἰς χειμῶνα. Ax. 370. C. Critia 112. D: εὐκρὰς οὖσα πρὸς χειμῶνά τε καὶ θέρος. Crat. 410. C: χειμῶνάς τε καὶ θέρη.

θέρω, *calefacio*, pass. *incalesco*. Phil. 46. C: (ὁπόταν τις) ῥιγῶν ... θέρηται καὶ θερμαινόμενος ἐνίοτε ψύχηται.

θέσις, ἡ, *positio*, *dispositio*, *ordo*. Theaet. 206. A: ἵνα μὴ ἡ θέσις σε ταράττοι λεγομένων τε καὶ γραφομένων. Pol. IX. 586. B: ὑπὸ τῆς παρ' ἀλλήλας θέσεως ἀποχραινομέναις (ἡδοναῖς). Conv. 199. B: θέσει ῥημάτων τοιαύτη, ὁποία ἄν τις τύχῃ ἐπελθοῦσα. Pol. I. 333. B: εἰς πεττῶν θέσιν. Ib. εἰς πλίνθων καὶ λίθων θέσιν. V. 479. C: (ἔχεις) ὅποι θήσεις καλλίω θέσιν τῆς μεταξὺ οὐσίας τε καὶ τοῦ μὴ εἶναι; Legg. II. 668. D: ἑκάστων τῶν μερῶν τὰς θέσεις. — In eo dicitur quod *ponitur* (etiam sumitur, definitur), *constituitur*, *imponitur* al. Pol. I. 335. A: καὶ περὶ τοῦ ἐχθροῦ δὲ ἡ αὐτὴ θέσις. IV. 425. D: εἴ που τελῶν τινὲς ἢ πράξεις ἢ θέσεις ἀναγκαῖοί εἰσιν. Legg. X. 889. E: τέχνη δέ, ἧς οὐκ ἀληθεῖς εἶναι τὰς θέσεις. Hinc etiam *in nominibus ac legibus ponendis* vel *imponendis*. Crat. 390. D: κινδυνεύει ... εἶναι οὐ φαῦλον ... ἡ τοῦ ὀνόματος θέσις. 401. B. 397. B: τὴν θέσιν τῶν ὀνομάτων. Legg. VI. 768. C: ἡ δικῶν ἀκριβὴς νόμων θέσις. III. 684. D: εἰς ῥαστώνην τῆς θέσεως τῶν νόμων. IV. 718. C. VIII. 837. E: τέχνην δή τιν' αὖ τούτου τοῦ νόμου τῆς θέσεως ... ἔχω. X. 908. D: τὰ ... νόμων ἄξια θέσεως. III. 690. D: τῶν ἐπὶ νόμων θέσιν ἰόντων. IX. 857. C: τὰ περὶ τὴν τῶν νόμων θέσιν. 864. C: περαίνοντες τὴν θέσιν τῶν νόμων. Epin. 973. B. Denique *in armis ponendis*, h. e. *deponendis*. Legg. VII. 813. E: θέσεως καὶ ἀναιρέσεως ὅπλων ἡμμένας (γυναῖκας).

θεσμός, ὁ, *praescriptio*, *lex*. Phaedr. 248. C: θεσμός τε Ἀδραστείας ὅδε. Ep. VIII. 355. B: καὶ ὁ μὲν ταῦτα ἀπεργαζόμενος θεσμὸς νόμος ἂν ὀρθῶς ὑμῖν εἴη κείμενος.

θεσπέσιος, α, ον, *divinus*; *eximius*; etiam *ingens*. Pol. II. 365. B: ἀδίκῳ ... θεσπέσιος βίος λέγεται. VIII. 558. A: ἆρ' οὐ θεσπεσία καὶ ἡδεῖα ἡ τοιαύτη διαγωγὴ ἐν τῷ παραυτίκα; Euthyd. 289. E: καὶ αὐτὴ ἡ τέχνη αὐτῶν θεσπεσία τις καὶ ὑψηλή. Pol. III. 387. A: ἄντρου θεσπεσίοιο (Hom.). Theaet. 151. B: σοφοῖς τε καὶ θεσπεσίοις ἀνδράσι.

θεσπιῳδῶ, *cano*. Ax. 367. D: οἳ ποιήμασι (στόμασι?) θειοτέροις τὰ περὶ τὸν βίον θεσπιῳδοῦσιν.

θέτης, ὁ, *qui ponit* (ut nomina, al.). Crat. 389. D: εἰ μέλλει κύριος εἶναι ὀνομάτων θέτης.

θετός, ή, όν, cum v. ποιεῖσθαι, *adoptare*. Legg. XI. 929. C: ἀποκηρυχθέντα ... ἄν τις ... μὴ ἐπιθυμήσῃ θετὸν υἱὸν ποιήσασθαι.

θέω, *curro*, *incurro*. Phaedr. 251. E: θεῖ ... ποθοῦσα ὅπου ἂν cet. Crat. 410. B: ὅτι ἀεὶ θεῖ περὶ τὸν ἀέρα ῥέων.

Legg. III. 691. C: *τὰ μὲν εἰς νόσους θεῖ* cet. Apol. 39. A: *θᾶττον γὰρ θανάτου θεῖ.* Pol. X. 613. B: *ὅσοι ἂν θέωσιν εὖ ἀπὸ τῶν κάτω, ἀπὸ δὲ τῶν ἄνω μή.* Crat. 397. D: *ἀπὸ ταύτης τῆς φύσεως τῆς τοῦ θεῖν.* 414. B. Conv. 190. A: *ταχὺ ... θεῖν.* Pol. V. 474. A: *θεῖν διατεταμένους* (v. *διατεταγμ.*). Legg. I. 625. D. Charm. 159. C. Hipp. min. 373. D: *οὐ ποιεῖν τί ἐστι τὸ θεῖν;* Ib. *ὁ βραδέως θέων.* E. Alc. II. 147. B. (v. *θεῶν*). Crat. 423. A: *ἵππον θέοντα.* Pol. III. 417. B: *θέοντες ἤδη τότε ἐγγύτατα ὀλέθρου.* Legg. VII. 822. B: *ἐν Ὀλυμπίᾳ θεόντων ἵππων.* Prot. 336. A: *θέουσι τούτοις ἀκολουθεῖν.* Phaed. 61. A: *ὥσπερ οἱ τοῖς θέουσι διακελευόμενοι.* Prot. 336. A: *θέοντας.* Crat. 397. D: *ἅτε ... αὐτὰ ὁρῶντες ... θέοντα.* Charm. 153. B: *ἔθει πρός με.*

θεῶμαι, *specto, contemplor, video; examino; perspicio, cognosco.* Gorg. 524. E: *θεᾶται ἑκάστου τὴν ψυχήν.* Pol. X. 611. C: *ὥσπερ νῦν ἡμεῖς θεώμεθα.* Polit. 298. E: *θεῶ δὴ καὶ τὸ μετὰ ταῦτα ἑπόμενον.* Men. 82. E. Phaed. 110. B: *εἴ τις ἄνωθεν θεῷτο* (*τὴν γῆν*). Pol. X. 598. A: *ἐάν τε ἐκ πλαγίου αὐτὴν θεᾷ ἐάν τε καταντικρύ.* 611. D: *οὕτω καὶ τὴν ψυχὴν ἡμεῖς θεώμεθα.* V. 466. E: *ἵν' ὥσπερ οἱ τῶν ἄλλων δημιουργῶν θεῶνται ταῦτα ἃ* cet. VI. 500. A. Conv. 211. D: *θεᾶσθαι μόνον καὶ ξυνεῖναι.* Pol. III. 402. D. VI. 511. C. Phaedr. 250. E: *θεώμενος αὐτοῦ τὴν τῇδε ἐπωνυμίαν.* Conv. 190. E. Pol. VII. 529. B: *ἐν ὀροφῇ ποικίλματα θεώμενος.* Legg. XI. 925. A: *γυμνὰς ... θεώμενος τὰς θηλείας.* Phaed. 84. A: *τὸ ἀληθὲς καὶ τὸ θεῖον ... θεωμένη.* Pol. VII. 518. C. Conv. 212. A: *κἀκεῖνο ᾧ δεῖ θεωμένου.* 211. D: *θεωμένῳ αὐτὸ τὸ καλόν.* Phaedr. 258. C: *θεώμενοι αὐτοῦ τὰ συγγράμματα.* Pol. II. 359. C. X. 602. C: *ἐν ὕδατι ... θεωμένοις.* V. 479. D: *τοὺς ... πολλὰ καλὰ θεωμένους.* Charm. 154. C: *πάντες ὥσπερ ἄγαλμα ἐθεῶντο αὐτόν.* Polit. 264. C: *καὶ ταῦτα τεθέαμαι.* Pol. X. 601. B: *τεθέασαι γάρ που.* Phaedr. 249. E: *πᾶσα ... ἀνθρώπου ψυχὴ φύσει τεθέαται τὰ ὄντα.* Legg. IV. 711. A: *ὑμεῖς δὲ τάχα οὐδὲ τεθέασθε τυραννουμένην πόλιν.* Pol. III. 400. A: *τεθεαμένος ἂν εἴποιμι.* Conv. 221. A: *ἐνταῦθα ... καὶ κάλλιον ἐθεασάμην Σωκράτη.* Legg. I. 637. B. Lach. 181. A. Pol. X. 615. D: *ἐθεασάμεθα ... καὶ τοῦτο τῶν δεινῶν θεαμάτων.* Legg. III. 683. A. 702. A. Lach. 179. E: *ὃν νῦν ὑμεῖς ἐθεάσασθε ἐπιδεικνύμενον.* 183. D. Phaed. 91. B: *θέασαι ὡς πλεονεκτικῶς.* Crat. 418. A. Euth. 5. E. Pol. III. 415. D: *θεασάσθων.* Crat. 411. A: *ἡδέως ἂν θεασαίμην ταῦτα τὰ καλὰ ὀνόματα* cet. Eryx. 399. A: *ἵνα θεάσαιο ὡς* cet. Pol. VII. 516. A: *αὐτὸν τὸν οὐρανὸν νύκτωρ ἂν ῥᾷον θεάσαιτο.* Legg. III. 686. C. Polit. 299. D: (*εἰ*) *καί τινα ἱπποφορβίαν ... θεασαίμεθα.* Pol. II. 369. A: *εἰ γιγνομένην πόλιν θεασαίμεθα λόγῳ.* Gorg. 495. E: *ὅταν*

αὐτὸς αὐτὸν θεάσηται ὀρθῶς. Soph. 237. B: τοῦτ' ... αὐτὸ πρῶτον θεασώμεθα. 254. B: πρὶν ἂν ἱκανῶς αὐτὸν θεασώμεθα. Polit. 267. E. Legg. IV. 720. E: βούλει δὴ καὶ θεασώμεθα τὸ διπλοῦν τοῦτο cet. De lege 317. D. Prot. 336. A: εἴ τι δέει θεάσασθαι ... θέοντας. Theaet. 154. E: νῦν δὲ ... βουλησόμεθα θεάσασθαι αὐτὰ πρὸς αὐτά. Soph. 236. C. Conv. 210. C. Pol. I. 327. A. al. Prot. 352. A: θεασάμενος ὅτι οὕτως ἔχεις πρὸς τὸ ἀγαθὸν καὶ τὸ ἡδύ. Tim. 19. B. Phaedr. 247. E: καὶ τἄλλα ὡςαύτως τὰ ὄντα ὄντως θεασαμένη. Legg. VII. 806. E: θεασαμένους. Pol. I. 328. A: τὴν παννυχίδα θεασόμεθα. VIII. 545. C. Pol. V. 467. E: οὕτω ... κάλλιστά τε θεάσονται τὸ αὑτῶν ἔργον cet. Verb. Phil. 66. D: αὐτῇ τῇ ψυχῇ θεατέον αὐτὰ τὰ πράγματα. Soph. 245. E. Polit. 260. C. Pol. III. 390. D: θεατέον τε καὶ ἀκουστέον. 413. D. Tim. 48. B. Legg. IX. 862. B: τοῦτό ἐστι τῷ νομοθέτῃ θεατέον. al.

θεώρημα, τό, *id quod spectatur* et in univ. *percipitur.* Legg. XII. 953. A: ὅσα τε Μουσῶν ὠσὶν ἔχεται (v. ὠσὶ δέχεται) θεωρήματα.

θεώρησις, ἡ, *spectatio, spectaculum.* Phil. 48. A: τάς γε τραγικὰς θεωρήσεις.

θεωρητικός, ή, όν, *contemplans, perscrutans.* Def. 414. B: ἐπιστήμη θεωρητικὴ τοῦ ὄντος καὶ μέλλοντος ζώῳ θνητῷ. Ib. ἐπιστήμη θεωρητικὴ τῆς τῶν ὄντων αἰτίας. Ib. θεωρητικὴ τοῦ ἀληθοῦς.

θεωρία, ἡ, *spectatio* (v. c. ludorum sollemnium). Crit. 25. B: οὔτ' ἐπὶ θεωρίαν πώποτε ἐκ τῆς πόλεως ἐξῆλθες. **spectatio, contemplatio*; *ratio* (vern. *wissenschaftliche Erkenntniss*). Pol. VI. 486. A: ᾧ ... ὑπάρχει ... θεωρία παντὸς μὲν χρόνου, πάσης δὲ οὐσίας. Legg. XII. 951. C: ἄνευ ... ταύτης τῆς θεωρίας καὶ ζητήσεως οὐ μένει ποτὲ τελέως πόλις. Phil. 38. B: τῆς ... διαφορᾶς αὐτοῖν ἐπὶ θεωρίαν ἔλθωμεν. Legg. IV. 720. B: (ἐὰν) κατ' ἐπίταξιν ... τῶν δεσποτῶν καὶ θεωρίαν καὶ κατ' ἐμπειρίαν τὴν τέχνην κτῶνται. Pol. VII. 517. D: εἰ ἀπὸ θείων ... θεωριῶν ἐπὶ τὰ ἀνθρώπειά τις ἐλθὼν κακὰ ἀσχημονεῖ cet. *id quod spectaculum hominibus praebet (ut ludi publici; unde θεωρεῖν etiam est *ludis interesse*); praec. *pompa sollemnis* vel *legatio* publico nomine missa ad dies festos concelebrandos, sacra procuranda al. Phaed. 58. B: ἐπειδὰν ... ἄρξωνται τῆς θεωρίας. C. Ib. ἑκάστου ἔτους θεωρίαν ἀπάξειν εἰς Δῆλον, ἣν δὴ ... κατ' ἐνιαυτὸν τῷ θεῷ πέμπουσιν. Legg. XII. 947. A: τῶν εἰς τοὺς Ἕλληνας κοινῇ θυσιῶν καὶ θεωριῶν. Pol. VIII. 556. C: ἢ κατὰ θεωρίας ἢ κατὰ στρατείας. Etiam ipsi dies festi θεωρία dicuntur. Legg. I. 650. A: ξυγγενόμενον μετὰ τῆς τοῦ Διονύσου θεωρίας.

θεωρός, ὁ, *spectator, speculator.* Legg. XII. 951. C: ὁ θεωρὸς ὁ τοιοῦτος cet. 953. A: ὄμμασιν ὄντως θεωρός.

Epin. 986. D: *θεωρὸς τῶν καλλίστων γενόμενος.* 953. C: *ἂν … ποτέ τις ἔλθῃ τῶν παρ' ἡμῖν θεωρῶν ἀντίστροφος ἐξ ἄλλης χώρας.* Legg. XII. 950. D: *ἢ καί τισι θεωροῖς.* Pol. V. 467. C: *θεωροὺς πολέμου τοὺς παῖδας ποιεῖν.* VII. 537. A. Tim. 57. D. Legg. I. 639. C. XII. 951. A.

θεωρῶ, *specto* (etiam *ludis intersum* vel *adsum*, ut Epp.); *video; contemplor*; *perspicio*, *cognosco*; etiam, ut Lat. *specto*, *iudico*. Phaedr. 247. C: *αἱ δὲ θεωροῦσι τὰ ἔξω τοῦ οὐρανοῦ.* Pol. V. 467. A. Legg. XII. 951. D: *μηκέτι θεωρείτω.* Pol. X. 607. D: *ὅταν δι' Ὁμήρου θεωρῇς αὐτήν (τὴν μίμησιν).* Legg. III. 695. C: *θεωρῶμεν δὴ ξυνεπόμενοι τῷ λόγῳ.* XII. 951. C: *οὐδ' ἂν κακῶς αὐτὴν (τὴν θεωρίαν) θεωρῶσι.* Pol. V. 467. C: *θεωρεῖν … τὰ περὶ τὸν πόλεμον.* VII. 529. B: *αὐτὸν νοήσει, ἀλλ' οὐκ ὄμμασι θεωρεῖν.* Legg. I. 650. A. Eryx. 399. C: *εἶτα οἴονται δεῖν μὴ αὐτὸν τὸν λόγον θεωρεῖν.* Phaedr. 276. B: *θεωρῶν καλούς.* D: *αὐτοὺς θεωρῶν φυομένους ἁπαλούς.* Conv. 210. D: *θεωρῶν πολλοὺς καὶ καλοὺς λόγους.* Phaedr. 247. C: *θεωροῦσα τἀληθῆ τρέφεται.* Pol. X. 606. B: *ἅτε ἀλλότρια πάθη θεωροῦν.* Gorg. 523. E: *αὐτῇ τῇ ψυχῇ αὐτὴν τὴν ψυχὴν θεωροῦντα.* Ep. VII. 350. B: *Δίωνα καταλαβὼν θεωροῦντα.* Phaed. 99. D: *οἱ τὸν ἥλιον ἐκλείποντα θεωροῦντες καὶ σκοπούμενοι.* Legg. II. 657. D. Ep. III. 315. B: *ὡς ἤγγειλαν οἱ τότε θεωροῦντες.* Pol. X. 601. A: *τοῖς μὴ ἐπαΐουσιν, ἐκ τῶν χρωμάτων δὲ καὶ σχημάτων θεωροῦσι.* Legg. VI. 772. A: *θεωροῦντας.* Phil. 53. D: *παιδικά που καλὰ κἀγαθὰ τεθεωρήκαμεν ἅμα καὶ ἐραστὰς* cet. Pol. II. 372. E: *εἰ δ' αὖ βούλεσθε καὶ φλεγμαίνουσαν πόλιν θεωρήσωμεν, οὐδὲν ἀποκωλύει.* IX. 579. B: *οὔτε θεωρῆσαι ὅσων … οἱ ἄλλοι ἐλεύθεροι ἐπιθυμηταί εἰσι.* Legg. XII. 951. A. D: *θεωρήσας.* 952. B: *ὁ θεωρήσας τὰ ἐν τοῖς ἄλλοις ἀνθρώποις νόμιμα.* Pol. I. 327. A: *θεωρήσαντες.* Phaed. 65. E: *ἆρα διὰ τοῦ σώματος αὐτῶν τἀληθέστατον θεωρεῖται —;* Theaet. 177. E: *τὸ πρᾶγμα ὃ ὀνομαζόμενον θεωρεῖται.* Gorg. 474. D: *ἐὰν ἐν τῷ θεωρεῖσθαι χαίρειν ποιῇ τοὺς θεωροῦντας.* Phil. 42. B. Legg. VI. 781. C. Pol. VI. 511. C: *τὸ ὑπὸ τῆς τοῦ διαλέγεσθαι ἐπιστήμης τοῦ ὄντος τε καὶ νοητοῦ θεωρούμενον.* Legg. II. 663. C: *ἐκ μὲν ἀδίκου καὶ κακοῦ … θεωρούμενα ἡδέα, ἐκ δὲ δικαίου* cet. VI. 772. A: *θεωρουμένους.* Eryx. 405. C: *μάλιστα δ' ἂν ἴσως καὶ τοῦτο ὧδε θεωρηθείη, εἴ τις* cet. Legg. VII. 815. B: *τὴν δ' εἰρηνικὴν ὄρχησιν τῇδ' αὖ θεωρητέον ἑκάστων.*

θήκη, *ἡ*, *sepulcrum.* Legg. XII. 947. C: *εἰς τὴν θήκην φέρειν αὐτὴν … τὴν κλίνην* cet. D: *θήκην … ὑπὸ γῆς αὐτοῖς εἰργασμένην εἶναι ψαλίδα* cet. Pol. IV. 427. B: *τελευτησάντων … θῆκαι.* V. 469. B: *προσκυνήσομεν αὐτῶν τὰς θήκας.* Legg. XII. 947. B. 958. D.

θηλάζω et med. *θηλάζομαι*, *lacto.* Pol. V. 460. D:

αὐτῶν τούτων ἐπιμελήσονται ὅπως μέτριον χρόνον θηλάσονται (αἱ μητέρες. Vulg. θηλάσωνται).

θηλή, ἡ, *mamma*. Crat. 414. A: ἡ ... θηλὴ ... ὅτι τεθηλέναι ποιεῖ. Ib. ἀπὸ τῆς θηλῆς.

θηλυγενής, ὁ ἡ, *muliebris*. Legg. VII. 802. E: θηλυγενέστερον ὡς ὂν παραδοτέον ἔν τε τῷ νόμῳ καὶ λόγῳ.

θῆλυς, εια, υ, *muliebris*; τὸ θῆλυ, *genus muliebre* et *mulieres*. Legg. XII. 958. D: περὶ τελευτήσαντος ... εἴτε τις ἄῤῥην εἴτε τις θῆλυς ᾖ (ἦν?). Pol. V. 453. A: φύσις ἡ ἀνθρωπίνη ἡ θήλεια. Legg. VI. 770. D. al. Hipp. mai. 288. B: θήλεια ... ἵππος. Crat. 414. A: τὸ ... θῆλυ ἀπὸ τῆς θηλῆς τι φαίνεται ἐπωνομάσθαι. Conv. 189. D: ἄῤῥεν καὶ θῆλυ (γένος). 190. B: τὸ ... θῆλυ τῆς γῆς (ἔκγονον ἦν). Pol. V. 471. D. Tim. 91. D: γυναῖκες ... καὶ τὸ θῆλυ πᾶν οὕτω γέγονε. Legg. VI. 781. A. Pol. V. 468. C: ἐάν τίς του τύχῃ ἐρῶν ἢ ἄῤῥενος ἢ θηλείας. Legg. VIII. 839. A: ἀπεχομένους ... ἀρούρας θηλείας πάσης. IX. 872. E. Crat. 431. A: τὸ τοῦ θήλεος τοῦ ἀνθρωπίνου γένους. Conv. 181. C: μετεχούσης ἐν τῇ γενέσει καὶ θήλεος καὶ ἄῤῥενος. Pol. V. 466. D. Legg. VIII. 836. E: τοῦ ... εἰς μίμησιν τοῦ θήλεος ἰόντος. I. 636. C: τῇ θηλείᾳ καὶ τῇ τῶν ἀῤῥένων φύσει εἰς κοινωνίαν ἰούσῃ τῆς γεννήσεως. VIII. 840. D. Polit. 262. E: ἄῤῥενι καὶ θήλει. Conv. 191. C: διὰ τοῦ ἄῤῥενος ἐν τῷ θήλει. Legg. II. 665. C: θῆλύν τε καὶ ἄῤῥενα. VII. 792. D: ἄῤῥενα ἢ θῆλυν. XI. 928. A: ὃς ἂν θῆλυν ἢ ἄῤῥενα (ὀρφανὸν) ἐπιτροπεύῃ. Pol. V. 454. D: τῷ τὸ μὲν θῆλυ τίκτειν, τὸ δὲ ἄῤῥεν ὀχεύειν. Legg. VII. 805. C. V. 740. C: πλείους ἐπίγονοι ... θήλεις ἤ τινες ἄῤῥενες. I. 631. D: ὅσοι (παῖδες) τε ἄῤῥενες καὶ ὅσαι θήλειαι. Critia 110. C: πάνθ' ὅσα ξύννομα ζῶα θήλεα καὶ ὅσα ἄῤῥενα. Legg. I. 636. C: θηλείων πρὸς θηλείας. VI. 764. D: θηλειῶν κορῶν. VII. 788. A: γενομένων ... παίδων ἀῤῥένων καὶ θηλειῶν. 802. E. al. VI. 778. A: μήτ' οὖν θηλείαις μήτε ἄῤῥεσιν (οἰκέταις). Pol. V. 451. D: τὰς θηλείας τῶν φυλάκων κυνῶν. Legg. V. 740. C. XI. 924. E: ἐάν τις παῖδας θηλείας καταλίπῃ. 930. B. Pol. V. 461. D: τὰ δὲ θήλεα θυγατέρας (προςερεῖ). Legg. VII. 794. D.

θήρ, ὁ, *fera*, *bellua*. Soph. 235. A: τὸν θῆρα μηκέτ' ἀνεῖναι. Pol. VIII. 559. D: αἴθωσι θηρσὶ καὶ δεινοῖς. Ax. 372. A: θηρσὶ περιλιχμώμενοι.

θήρα, ἡ, *venatio*; trop. *indagatio* et *appetitio*. Soph. 220. B: τοῦ πτηνοῦ ... γένους πᾶσα ... ἡ θήρα. Legg. VII. 823. B: θήρα ... πάμπολύ τι πρᾶγμά ἐστι. Soph. 221. E: τίνος θήρας ἄτερος (θηρευτής); 222. B: τῆς πεζῆς θήρας. Legg. VII. 822. D. 823. D: τῆς περὶ θάλατταν θήρας. E: πτηνῶν θήρας. Theaet. 198. D: τῇ τῶν περιστερῶν κτήσει τε καὶ θήρᾳ. Soph. 222. D: τῇ τῶν ἐρώντων θήρᾳ. Phaed. 66. C: ἐμποδίζουσιν ἡμῶν τὴν τοῦ ὄντος θήραν. Gorg.

500. D: *τὴν μὲν τοῦ ἡδέος θήραν, τὴν δὲ τοῦ ἀγαθοῦ.* Theaet. 198. A: *θήραν ἐπιστημῶν ἀρτίου τε καὶ περιττοῦ παντός.* Soph. 220. B: *τὸ μὲν ἕρκεσιν ... ποιεῖται τὴν θήραν* cet. 222. C: *θήραν ... ἀνθρώπων* (Id. Legg. VII. 823. B.). Ib. *βίαιον θήραν ὁρισάμενοι.* Legg. I. 633. B. VII. 823. E: *ἀργὸν θήραν διαπονουμένοις.* B: *στρατοπέδων θῆραι.* Pol. IV. 412. B: *θήρας τε καὶ κυνηγέσια.* Alc. I. 121. E: *ἐπὶ τὰς θήρας ἄρχονται ἰέναι.*

θήρειος, α, ον et *ὁ ἡ*, *ferinus.* Phaedr. 248. D: *μὴ φυτ·ῦσαι εἰς μηδεμίαν θηρείαν* (sic codd. praestantt. Vulg. *θήρειον*) *φύσιν.* Tim. 42. C: *εἴς τινα τοιαύτην ἀεὶ μεταβαλοῖ* (v. *μεταβαλεῖ*) *θήρειον* (v. *θηρίου*) *φύσιν.*

θήρευμα, τό, *venatio.* Legg. VII. 823. B: *τὸ περὶ τὰ πεζὰ θηρεύματα.*

θήρευσις, ἡ, *venatio*; *aucupium.* Legg. VII. 824: *πεζῶν ... μόνον θήρευσίς τε καὶ ἄγρα λοιπή.* Theaet. 166. C: *εἰ ... ὀνομάτων γε δεήσει θηρεύσεις διευλαβεῖσθαι ἀλλήλων.*

θηρευτής, ὁ, *venator*; *captator.* Soph. 231. D: *νέων καὶ πλουσίων ἔμμισθος θηρευτής.* (Def. 415. C.) Conv. 203. D: *θηρευτὴς δεινός.* Lys. 206. A. 218. C. Soph. 221. D: *θηρευτά τινε καταφαίνεσθον ἄμφω μοι.* Pol. II. 373. B: *οἷον οἵ τε θηρευταὶ* (*qui speciem captant?*) *πάντες οἵ τε μιμηταί* cet. Tim. 24. A: *τὸ τῶν θηρευτῶν τό τε τῶν γεωργῶν* (*γένος*). Legg. VII. 823. E: *θηρευτὰς ὠμοὺς καὶ ἀνόμους.* 824.

θηρευτικός, ή, όν, *venaticus*; fem. et neutr. *ars* vel *peritia venandi.* Epin. 975. C: *οὐδ' ἡ ξύμπασα θηρευτική, πολλή περ καὶ τεχνικὴ γεγονυῖα.* Euthyd. 290. B: *θηρευτική τις ἥδε γέ ἐστι τέχνη ἀνθρώπων.* Soph. 221. B: *χειρωτικοῦ* (*ἥμισυ μέρος ἦν*) *θηρευτικόν.* 223. B: *τέχνης ... θηρευτικῆς.* Polit. 299. D: *ξυμπάσης ἡστινοσοῦν θηρευτικῆς.* Euthyd. 290. B. Soph. 265. A: *ἐν θηρευτικῇ.* Polit. 289. A: *γεωργικῇ ... καὶ θηρευτικῇ.* Soph. 227. B: *τὸν διὰ στρατηγικῆς ... δηλοῦντα θηρευτικήν.* 219. C: *τὸ ... ἀγωνιστικὸν καὶ θηρευτικόν.* E. 223. C. Euthyd. 290. B: *θηρευτικοὶ γάρ εἰσι καὶ οὗτοι.* Pol. V. 459. A: *κύνας θηρευτικούς.*

θηρεύω, *venor*; *aucupor*, *capto*; *capio*; *indago*, *sector.* Gorg. 490. A: *καὶ οὐ ῥήματα* (codd. *ῥήματι*) *θηρεύω.* Phil. 20. D: *ὅτι πᾶν τὸ γιγνῶσκον αὐτὸ θηρεύει.* Polit. 264. A: *ἣν ... θηρεύομεν ἐπιστήμην.* Phaed. 66. A: *αὐτὸ καθ' αὑτὸ εἰλικρινὲς ἕκαστον ἐπιχειροῖ θηρεύειν τῶν ὄντων.* Theaet. 198. A: *ἣν ἂν βούληται τῶν ἐπιστημῶν θηρεύειν.* Polit. 285. D. Legg. I. 627. C: *οὐκ ἂν εἴη γε πρέπον ... τοῦτο θηρεύειν.* XII. 950. C: *τὸν εὔδοξον βίον θηρεύειν.* Gorg. 489. B: *ὀνόματα θηρεύων.* Theaet. 199. B. Phil. 56. A: *τὸ μέτρον ἑκάστης χορδῆς ... θηρεύουσα.* Legg. VII. 823. B. Theaet. 199. E: *τὸν ... θηρεύοντα.* Legg. III. 679. A: *θη-*

ρεύοντες. VII. 824. A: αὐτόχειρες θηρεύοντες. Critia 119. E: ξύλοις καὶ βρόχοις ἐθήρευον. Phaedr. 262. C: δόξας ... τεθηρευκώς (v. τεθηρακώς). Theaet. 200. A: ἐπιστήμην ἄρα οἰήσεται τεθηρευκὼς ἔχειν. Euthyd. 290. D: αὐτὸ ... οὐκ ἐπίστανται χρῆσθαι τούτοις ἃ ἐθήρευσαν. Phil. 65. A: εἰ μὴ μιᾷ δυνάμεθα ἰδέᾳ τὸ ἀγαθὸν θηρεῦσαι. Legg. VII. 824. A. Euthyd. 290. B. 295. D: βουλόμενός με θηρεῦσαι. Theaet. 197. C: ὄρνιθας ἀγρίας ... θηρεύσας. Soph. 221. A: περὶ τὴν κεφαλὴν ... τοῦ θηρευθέντος ἑκάστοτε. 222. E: ὅτι τοῖς θηρευθεῖσι δῶρα προςεπιδιδόασιν. Med. Gorg. 464. D: τῷ ... ἀεὶ ἡδίστῳ θηρεύεται τὴν ἄνοιαν. Euthyd. 290. B: ὃ ἂν θηρεύωνται. Pol. VII. 531. A: οἷον ἐκ γειτόνων φωνὴν θηρευόμενοι. Lys. 218. C: ὃ ἐθηρευόμην. Euthyd. 290. C: ἐπειδὰν ἢ πόλιν τινὰ θηρεύσωνται ἢ στρατόπεδον. D: θηρευσαμένη. Soph. 222. A: τὰν τούτοις ζῶα θηρευσόμενος.

θηρίον, τό, propr. diminut. vocis θήρ, *belliola*. Theaet. 171. E: μὴ πᾶν γύναιον καὶ παιδίον καὶ θηρίον δὲ ἱκανὸν εἶναι ἰᾶσθαι αὐτό cet. Ex usu autem loquendi est i. q. θήρ, *fera*, *bellua* (etiam trop.), et in univ. *animal*, plur. *animantia*. Prot. 324. B: ὅστις μὴ ὥσπερ θηρίον ἀλογίστως τιμωρεῖται. Phaedr. 230. A: εἴτε τι θηρίον τυγχάνω Τυφῶνος πολυπλοκώτερον cet. Pol. I. 336. B: ὥσπερ θηρίον ἧκεν ἐφ' ἡμᾶς ὡς διαρπασόμενος. VII. 535. E: ὥσπερ θηρίον ὕειον. Ep. VII. 335. B: ἁρπάζει πᾶν ... καθάπερ θηρίον. Phaedr. 249. B: ἔνθα καὶ εἰς θηρίου βίον ἀνθρωπίνη ψυχὴ ἀφικνεῖται. Pol. II. 376. A. IX. 588. C: θηρίου ποικίλου καὶ πολυκεφάλου. Phaedr. 240. B: κόλακι, δεινῷ θηρίῳ. Pol. IX. 590. B: ὅταν τις τὸ αὐτὸ τοῦτο, τὸ θυμοειδές, ὑπὸ τῷ ὀχλώδει θηρίῳ ποιῇ. X. 611. D. Soph. 226. A: ποικίλον εἶναι τοῦτο τὸ θηρίον. Pol. IX. 588. E: τὸ παντοδαπὸν θηρίον εὐωχοῦντι ποιεῖν ἰσχυρόν. Crat. 399. C: ὅτι τὰ μὲν ἄλλα θηρία ... οὐδὲν ἐπισκοπεῖ ... ὁ δὲ ἄνθρωπος cet. Phil. 67: καὶ τἄλλα ξύμπαντα θηρία. Conv. 207. A. Tim. 76. D: ὡς ... ἐξ ἀνδρῶν γυναῖκες καὶ τἄλλα θηρία γενήσοιτο. Prot. 322. B: ἀπώλλυντο ... ὑπὸ τῶν θηρίων. Polit. 262. A: καί μοι δοκεῖ τῶν μὲν ἀνθρώπων ἑτέρα τις εἶναι, τῶν δὲ αὖ θηρίων ἄλλη τροφή. 263. C. Phil. 67: τοὺς θηρίων ἔρωτας. Pol. VIII. 562. E. IX. 571. D: ἄλλῳ τε ὁτῳοῦν ἀνθρώπων καὶ θεῶν καὶ θηρίων. Legg. II. 669. C: θηρίων φωνὰς καὶ ἀνθρώπων. VII. 808. D. 824: τὴν ἄγριον τῶν θηρίων ῥώμην. Menex. 237. D: θηρίων ... ἀγρίων. Clit. 409. D: τὰς τῶν θηρίων (φιλίας). Polit. 272. B: πρὸς τὸ μὴ μόνον ἀνθρώποις, ἀλλὰ καὶ θηρίοις διὰ λόγων δύνασθαι συγγίγνεσθαι. 291. B: τοῖς ἀσθενέσι καὶ πολυτρόποις θηρίοις. Conv. 188. B: καὶ τοῖς θηρίοις καὶ τοῖς φυτοῖς. Legg. IV. 710. A: ὅπερ εὐθὺς παισὶ καὶ θηρίοις ... ξύμφυτον ἐπανθεῖ. Polit. 263. D: θηρία καλέσας. 272. C: εἰ ... διε-

λέγοντο πρὸς ἀλλήλους καὶ τὰ θηρία μύθους. Pol. VI. 496. D: *ὥσπερ εἰς θηρία ἄνθρωπος ἐμπεσών.* Menex. 237. D: *θηρία τε καὶ βοτά.*

θηριῶ, *effero.* Legg. XI. 935. A: *θηριούμενος ἐν δυςκολίᾳ ζῶν γίγνεται.*

θηριώδης, ὁ ἡ, *ferinus*; *ferus, immanis.* Pol. IX. 571. C: (*ὅταν*) *τὸ ... θηριῶδές τε καὶ ἄγριον ... σκιρτᾷ* cet. 591. B: *τοῦ κολαζομένου τὸ μὲν θηριῶδες κοιμίζεται καὶ ἡμεροῦται.* Tim. 91. E: *τὸ ... πεζὸν καὶ θηριῶδες.* Legg. II. 669. E: *φωνῆς θηριώδους σφόδρα φίλον.* Pol. IX. 591. C: *τῇ θηριώδει καὶ ἀλόγῳ ἡδονῇ.* Polit. 309. E: *ἀποκλίνει μᾶλλον πρὸς θηριώδη τινὰ φύσιν.* Pol. IV. 430. B: *τήν τε θηριώδη καὶ ἀνδραποδώδη* (*δόξαν*). Crat. 394. E: *τὸ θηριῶδες τῆς φύσεως καὶ τὸ ἄγριον αὐτοῦ ... ἐνδεικνύμενος τῷ ὀνόματι.* Legg. X. 909. A: *ὅσοι δ' ἂν θηριώδεις γένωνται* cet. Pol. IX. 589. D: *τὰ ὑπὸ τῷ θείῳ τὰ θηριώδη ποιοῦντα τῆς φύσεως.*

θής, ὁ, *marcenarius.* Euth. 15. D: *ὑπὲρ ἀνδρὸς θητός.* Polit. 290. A: *οὕς γε ὁρῶμεν μισθωτοὺς καὶ θῆτας πᾶσιν ... ὑπηρετοῦντας.*

θησαυρίζομαι, *repono, congero.* Phaedr. 376. D: *ἑαυτῷ ... ὑπομνήματα θησαυριζόμενος.*

θησαυροποιός, ὁ ἡ, *thesauros colligens.* Pol. VIII. 554. A: *θησαυροποιὸς ἀνήρ.*

θησαυρός, ὁ, *thesaurus.* Menex. 247. B: *εἶναι ... τιμὰς γονέων ἐκγόνοις καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής.* Legg. XI. 913. E: *πλῆθος ... θησαυροῦ παμμέγεθες.* Menex. 247. B: *χρῆσθαι ... καὶ χρημάτων καὶ τιμῶν θησαυρῷ.* Phil. 15. E: *ὥς τινα σοφίας εὑρηκὼς θησαυρόν.* Legg. XI. 913. A. Pol. VIII. 548. A: *ἅτε κεκτημένοι ταμιεῖα καὶ οἰκείους θησαυρούς.*

θητεύω, *operas do mercenarias.* Pol. II. 359. D: *ποιμένα θητεύοντα παρὰ τῷ τότε Λυδίας ἄρχοντι.* Euth. 9. A: *θητεύων.* Pol. II. 386. C. et VII. 516. D: *θητευέμεν* (Hom.). Euth. 4. C: *ἐθήτευεν ἐκεῖ παρ' ἡμῖν.*

θίασος, ὁ, *turba.* Polit. 303. C: *Κενταυρικὸν ὁρᾶσθαι καὶ Σατυρικόν τινα θίασον.*

θίς, ὁ, *littus.* Pol. III. 388. A. (Hom.).

θλίβω, *constringo.* Tim. 60. C: *σφόδρα ἔθλιψε ... αὐτὸν* (*τὸν τῆς γῆς ὄγκον*). 91. A: *τῷ πνεύματι θλιφθέν.*

θνήσκω, *morior; morte multor* vel *afficior; cado.* Legg. XII. 946. E: *ἁπλῶς θνησκέτω.* Ax. 368. D: *θνῆσκον.* Phaed. 72. C: (*εἰ*) *τὰ ... ζῶντα θνήσκοι.* Ax. 369. C: *οὐ γὰρ τέθνηκας.* E. Apol. 41. B: *τέθνηκεν.* Gorg. 492. E: *καὶ ἡμεῖς ... τέθναμεν.* Legg. XI. 933. E: *τεθνάτω.* 938. C. Gorg. 483. B: *ᾧ κρεῖττόν ἐστι τεθνάναι ἢ ζῆν.* Phaed. 62. A: *οἷς βέλτιον τεθνάναι ἢ ζῆν.* 64. A: *ἀποθνήσκειν τε καὶ τεθνάναι.* 67. E: *τὸ τεθνάναι ἥκιστ' αὐτοῖς ἀνθρώπων φοβερόν.*

77. D: ἐκ θανάτου καὶ τοῦ τεθνάναι. Conv. 179. A. Pol. III. 387. D. Legg. III. 698. E: Δαρεῖος ... τεθνάναι ἐλέχθη. Apol. 30. C: οὐδ' εἰ μέλλω πολλάκις τεθνάναι: Legg. IX. 874. A: ἐὰν ... τεθνεὼς ... τις φανῇ. Euth. 4. B: ὁ τεθνεὼς (v. τεθνειὼς) ὑπὸ τοῦ σοῦ πατρός. Phaed. 71. D: τὸ τεθνηκός. Gorg. 524. C: τεθνεῶτος τὸ σῶμα. Pol. V. 469. D. Phaed. 77. C: τὸ γίγνεσθαι πᾶν τὸ ζῶν ἐκ τοῦ τεθνεῶτος. Tim. 85. D: τεθνεῶτος αἵματος. Gorg. 523. E: τὸν κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα. Pol. V. 469. D: ὅταν περὶ τὸν τεθνεῶτα κυπτάζωσι. Conv. 192. E: κοινῇ τεθνεῶτε. Apol. 40. E: ὡς ... ἐκεῖ εἰσὶν ἅπαντες οἱ τεθνεῶτες. Phaed. 72. C: τὰ τεθνεῶτα. 70. C: ἐκ τῶν τεθνεώτων. 71. D. 72. D: τὰς τῶν τεθνεώτων ψυχὰς εἶναι. Menex. 236. D. Men. 100. A: οἷον ἔφη Ὅμηρος ἐν τοῖς τεθνεῶσι τὸν Τειρεσίαν εἶναι. Ax. 368. B: μήτε ... ἐν τοῖς τεθνηκόσιν ὄντα μήτε ἐν τοῖς βιοῦσιν. Ep. II. 311. C: ὡς ἔστι τις αἴσθησις τοῖς τεθνεῶσι τῶν ἐνθάδε. Gorg. 523. E: τεθνεῶτας ... δεῖ κρίνεσθαι. Phaed. 72. A: τοὺς τεθνεῶτας ἐκ τῶν ζώντων (γεγονέναι). Legg. X. 909. B. Gorg. 469. D: τεθνήξει (v. τεθνήξεται) οὗτος (v. Annott. in Gorg. p. 175.).

θνητοειδής, ὁ ἡ, *mortali similis, mortalis.* Phaed. 86. A: τὰς χορδὰς θνητοειδεῖς οὔσας.

θνητός, ή, όν, *mortalis.* Conv. 203. D: οὔτε ὡς ἀθάνατος πέφυκεν οὔτε ὡς θνητός. 207. D: ἡ θνητὴ φύσις. Legg. IX. 875. B. Phaedr. 246. B: θνητόν τε καὶ ἀθάνατον ζῶον. Phaed. 80. A: τὸ ... θνητόν (opp. τὸ θεῖον). Conv. 208. B. Tim. 70. E. Crat. 398. D: ἐρασθέντος ἢ θεοῦ θνητῆς ἢ θνητοῦ θεᾶς. Pol. III. 416. E: τῇ τοῦ θνητοῦ χρυσοῦ κτήσει. Legg. IX. 873. A: ὁ παρὰ τοῦ θνητοῦ νομοθέτου νόμος. Critia 113. C: ἐκ θνητῆς γυναικὸς γεννήσας. Conv. 202. E: μεταξύ ἐστι θεοῦ τε καὶ θνητοῦ. Pol. IX. 585. C. al. Phaedr. 256. E: σωφροσύνη θνητῇ κεκραμένη. Phaed. 80. A: τὸ δὲ σῶμα τῷ θνητῷ (ἔοικεν). B. Conv. 206. C: τοῦτο ἐν θνητῷ ὄντι τῷ ζώῳ ἀθάνατον ἔνεστιν. Tim. 65. A: τῷ θνητῷ τῆς ψυχῆς. 73. C: παντὶ θνητῷ γένει. Ax. 370. C: οὐδὲ μεμιγμένας θνητῷ σώματι τὰς ἡδονάς. Theaet. 176. A: τὴν ... θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ (τὰ κακά). Legg. X. 889. C: αὐτὴν θνητὴν (τέχνην) ἐκ θνητῶν. Soph. 246. E: θνητὸν ζῶον εἴ φασιν εἶναί τι. Tim. 41. D: ἀθανάτῳ θνητὸν προςυφαίνοντες. 69. D: τὸ θνητὸν γένος ξυνέθεσαν. Prot. 320. C: θνητὰ ... γένη οὐκ ἦν. Tim. 41. B. Legg. X. 902. E: θνητῶν δημιουργῶν φαυλότερον. Tim. 96. C: τῶν ... θνητῶν τὴν γένεσιν. Legg. X. 901. D: θνητοῖς τε καὶ ἀθανάτοις. Tim. 80. B: ἐν θνηταῖς ... φοραῖς. Legg. X. 897. D: ὡς νοῦν ποτὲ θνητοῖς ὄμμασιν ὀψόμενοί τε καὶ γνωσόμενοι ἱκανῶς. Phaedr. 256. E: θνητά τε καὶ φειδωλὰ οἰκονομοῦσα. Soph. 265. C: ζῶα ... πάντα θνητὰ καὶ φυτά. Tim. 42. D: σώματα πλάττειν θνητά. 69. C: ζῶα ἔχον ἅπαντα ἐν αὐτῷ θνητὰ ἀθάνατά τε.

Critia 107. D: (ὅτι) τὰ ... θνητὰ καὶ ἀνθρώπινα ἀκριβῶς ἐξετάζομεν.

θοἱμάτιον, v. *ἱμάτιον*.

θοίνη, ἡ, *epulae*, *pabulum* (etiam trop.). Phaedr. 236. E: πῶς γὰρ ἂν οἷός τ' εἴην τοιαύτης θοίνης ἀπέχεσθαι; Theaet. 178. D: σκευαζομένης θοίνης. Pol. II. 383. B: αὐτὸς ἐν θοίνῃ παρών (Aesch.). Legg. I. 649. A. Phaedr. 247. B: ὅταν ... πρὸς δαῖτα καὶ ἐπὶ θοίνην ἴωσιν. Soph. 251. B: ὅθεν ... τοῖς ... νέοις ... θοίνην παρεσκευάκαμεν. Conv. 174. C: ἄκλητον ... ἐλθόντα ... ἐπὶ τὴν θοίνην. Ib. ἐπὶ σοφοῦ ἀνδρὸς ἰέναι θοίνην ἄκλητος.

θολερός, ά, όν, *turbidus*. Phaed. 113. A: θολερὸς καὶ πηλώδης. Tim. 92: εἰς ὕδατος θολερὰν καὶ βαθεῖαν ἔωσαν ἀνάπνευσιν. 58. D: ὁ ... θολερώτατος (ἀὴρ) ὁμίχλη τε καὶ σκότος.

θόλος, ἡ, *aedificium rotundum*, in quo prytanes epulabantur. Apol. 32. D: ἐπειδὴ ἐκ τῆς θόλου ἐξήλθομεν. C: εἰς τὴν θόλον ... ἀγαγεῖν cet.

θοός, ή, όν, *velox*. Crat. 422. E: ἐκ τοῦ θοοῦ. Ib. τὸ ... θοόν.

θόρυβος, ὁ, *tumultus*, *turba*; etiam *strepitus* vel *clamor multitudinis* aliquid probantis (*plausus*) vel improbantis. Phaedr. 238. B: θόρυβος ... καὶ ἅμιλλα καὶ ἱδρὼς ἔσχατος γίγνεται. Gorg. 458. C: τοῦ ... θορύβου ... αὐτοὶ ἀκούετε τούτων τῶν ἀνδρῶν βουλομένων ἀκούειν, ἐάν τι λέγητε. Conv. 223. B: θορύβου μεστὰ πάντα εἶναι. Pol. VIII. 561. B: τοῦ πολλοῦ θορύβου παρελθόντος. Legg. II. 659. A: ἐκπληττόμενον ὑπὸ θορύβου τῶν πολλῶν. III. 700. D: μὴ τολμᾶν κρίνειν διὰ θορύβου. IX. 876. B: θορύβου μεστά, καθάπερ θέατρα ἐπαινοῦντά τε βοῇ καὶ ψέγοντα cet. Pol. VI. 492. B: ὅταν ... ξὺν πολλῷ θορύβῳ τὰ μὲν ψέγωσι τῶν λεγομένων ἢ πραττομένων τὰ δὲ ἐπαινῶσιν, ὑπερβαλλόντως ἑκάτερα. Prot. 339. D: εἰπὼν ... ταῦτα πολλοῖς θόρυβον παρέσχε καὶ ἔπαινον τῶν ἀκουόντων. Phaed. 66. D: θόρυβον παρέχει καὶ ταραχήν. Pol. VI. 492. C: ((ὅταν) αἵ τε πέτραι καὶ ὁ τόπος ... διπλάσιον θόρυβον παρέχωσι τοῦ ψόγου καὶ ἐπαίνου. IX. 571. E: ὅπως ἂν κοιμηθῇ καὶ μὴ παρέχῃ θόρυβον τῷ βελτίστῳ χαῖρον ἢ λυπούμενον. 575. A. Tim. 70. E: θόρυβον καὶ βοὴν ὡς ἐλαχίστην παρέχον. Critia 117. E. Polit. 273. A: θορύβων (v. θορύβου) τε καὶ ταραχῆς ἤδη παυόμενος. Pol. III. 413. D: ὥσπερ τοὺς πώλους ἐπὶ τοὺς ψόφους τε καὶ θορύβους ἄγοντες σκοποῦσιν εἰ φοβεροί.

θορυβῶ, *tumultuor*; *exsulto*; etiam *fremitu* vel *clamore indignationem significo*. Prot. 319. C: καταγελῶσι καὶ θορυβοῦσιν. Apol. 27. B: μὴ ἄλλα καὶ ἄλλα θορυβείτω. 21. A: μὴ θορυβεῖτε (v. θορυβῆτε). 30. C. 17. D: μήτε θαυμάζειν μήτε θορυβεῖν τούτου ἕνεκα. 30. C: μὴ θορυβεῖν ἐφ' οἷς ἂν λέγω. Euthyd. 303. B: ἐφ' ἑκάστοις πᾶσι παγκάλως

ἐθορύβουν cet. 276. D: ἐνταῦθα ... καὶ πάνυ μέγα ἐγέλασάν τε καὶ ἐθορύβησαν οἱ ἐρασταὶ τοῖν ἀνδροῖν. 303. B: ὀλίγου ... καὶ οἱ κίονες ... ἐθορύβησάν τ' ἐπὶ τοῖν ἀνδροῖν καὶ ἥσθησαν. Apol. 20. E: μὴ θορυβήσητε. **conturbo*, *perturbo*; *consterno*. Phaedr. 245. B: μηδέ τις ἡμᾶς λόγος θορυβείτω. Phil. 28. C: ὄντως σε ἐγὼ ... σεμνύνων ἐν τῷ παίζειν ἐθορύβησα. Pol. IV. 438. A: μήτοι τις ... ἀσκέπτους ἡμᾶς ὄντας θορυβήσῃ. Phaedr. 248. A: θορυβουμένη ὑπὸ τῶν ἵππων. Legg. I. 640. B: μηδὲν τὸ παράπαν δεδιότα μηδὲ θορυβούμενον ... στρατηγόν. Euthyd. 275. D: γνοὺς αὐτὸν τεθορυβημένον. Pol. VII. 518. A: ὁπότε ἴδοι θορυβουμένην τινὰ (ψυχήν). Legg. I. 640. A: ὁ ... ἀνδρεῖος τῶν δειλῶν ὑπὸ φόβων ἧττον τεθορύβηται. Lys. 210. E: ἀγωνιῶντα καὶ τεθορυβημένον ὑπὸ τῶν λεγομένων. Charm. 154. C: οὕτως ἐκπεπληγμένοι τε καὶ τεθορυβημένοι ἦσαν. Conv. 215. E: οὐδὲ τεθορύβητό μου ἡ ψυχὴ οὐδ' ἠγανάκτει. Euthyd. 283. D: καὶ ἐγὼ ἀκούσας ἐθορυβήθην. Conv. 194. A: ἵνα θορυβηθῶ διὰ τὸ οἴεσθαι cet. B: εἰ ... νῦν οἰηθείην σε θορυβηθήσεσθαι ἕνεκα ἡμῶν ὀλίγων ἀνθρώπων.

θορυβώδης, ὁ ἡ, *turbulentus*. Legg. II. 671. A: θορυβώδης ... ὁ ξύλλογος ὁ τοιοῦτος ἐξ ἀναγκῆς ... ξυμβαίνει γιγνόμενος. Tim. 42. D: θορυβώδη καὶ ἄλογον ὄντα.

θράσος, τό, *audacia*, *temeritas*. Hipp. mai. 298. A: οὐκ ἂν ... αὐτὸν τοῦ θράσους ἐπίσχοιμεν; Def. 416: ὑπερβολὴ θράσους πρὸς φόβους. Legg. III. 701. B: διὰ θράσος.

θρασύνομαι, *audax sum*; partic. *audacter* vel *insolenter*. Legg. IX. 879. D: ξένον ... ἂν ἀσελγαίνοντα καὶ θρασυνόμενον ἑαυτὸν τύπτοντα οἴηται δεῖν κολασθῆναι. III. 685. C: θρασυνόμενοι τὸν πόλεμον ἤγειραν τὸν ἐπὶ Τροίαν.

θρασυξενία, ἡ, *hospitis insolentia*. Legg. IX. 879. E: θρασυξενίας παυόντων.

θρασύς, εῖα, ύ, *audax*; *temerarius*. Hipp. mai. 298. A: εἰ ἀποκριναίμεθα τῷ θρασεῖ ἐκείνῳ ἀνθρώπῳ. Prot. 360. B: οἱ θρασεῖς καὶ οἱ μαινόμενοι. Legg. I. 630. B: θρασεῖς καὶ ἄδικοι καὶ ὑβρισταὶ cet. 649. C: θαῤῥαλέοι ... καὶ θρασεῖς. V. 728. E: τὰ μὲν γὰρ χαύνους τὰς ψυχὰς καὶ θρασείας ποιεῖ, τὰ δὲ ταπεινάς τε καὶ ἀνελευθέρους. Lach. 197. B: ταῦτα ... ἃ σὺ καλεῖς ανδρεῖα ... ἐγὼ θρασέα καλῶ. Lach. 184. B: θρασύτερος ... δ' αὐτὸ γενόμενος.

θρασύτης, ἡ, *audacia*; *temeritas*. Charm. 155. C: καί μου ἡ πρόσθεν (v. πρώην) θρασύτης ἐξεκέκοπτο. 156. D: καί μοι κατὰ σμικρὸν πάλιν ἡ θρασύτης ξυνηγείρετο. Def. 416: θρασύτης ὑπερβολὴ θράσους cet. Tim. 87. A: θρασύτητός τε καὶ δειλίας (εἴδη). Legg. I. 649. C: θρασύτητος γέμοντας. Lach. 197. B: θρασύτητος ... καὶ τόλμης.

θράττω (ταράττω), *conturbo*, *pungo* vel *stimulo* (de scrupulo). Theaet. 187. C: θράττει μέ πως νῦν τε καὶ ἄλλοτε δὴ πολλάκις. Phaed. 86. E: λέγε τί ἦν ὅ σε αὖ θρατ-

τον ἐπιστίαν παρέχει. Phaedr. 242. C: *ἐμὲ γὰρ ἔθραξε μέν τι καὶ πάλαι λέγοντα τὸν λόγον.* Parm. 130. D: *ἤδη μέντοι ποτέ με καὶ ἔθραξε μή τι ᾖ περὶ πάντων ταὐτόν.*

θραυστός, ή, όν, *fragilis.* Locr. 99. C: *τὸ δὲ θραυστὸν (εἶδος) θεῖον, ἄσφαλτον* cet.

θραύω, *confringo.* Crat. 426. E: *οἷον κρούειν, θραύειν* cet. Phaedr. 248. B: *πολλαὶ ... πολλὰ πτερὰ θραύονται.*

θρέμμα, τό, *quicquid alitur* vel *fovetur* (*alumnus, pullus*; praec. *pecus, animal*, et in univ. *animans*, plur. *animantia*). Phaedr. 260. B: *ὡς παντὸς ἄξιον τὸ θρέμμα οἴκοι τε κεκτῆσθαι* cet. Theaet. 174. B: *εἰ ἄνθρωπός ἐστιν ἤ τι ἄλλο θρέμμα.* Pol. IX. 590. A: *τὸ δεινὸν ... καὶ πολυειδὲς θρέμμα.* Legg. VI. 777. B: *ἐπειδὴ δύςκολόν ἐστι τὸ θρέμμα ἄνθρωπος.* XI. 914. D. Pol. VI. 493. A: *θρέμματος μεγάλου καὶ ἰσχυροῦ ... τὰς ὀργάς τε καὶ ἐπιθυμίας.* IX. 589. B: *τοῦ πολυκεφάλου θρέμματος ἐπιμελήσεται.* Charm. 155. E. Pol. VIII. 569. B: *οἷον θρέμμα γεννῶν.* Tim. 70. E: *ὡς θρέμμα ἄγριον.* Legg. I. 639. A: *πᾶν θρέμμα ἄναρχον ... ἰδών.* Polit. 268. B: *ἐφ᾽ ὅσον αὐτοῦ τὰ θρέμματα φύσει μετείληφεν.* Tim. 30. D: *ὅσα τε ἄλλα θρέμματα συνέστηκεν ὁρατά.* Legg. XII. 953. E: *καθάπερ ποιοῦσι νῦν θρέμματα Νείλου.* Phaedr. 240. B: *τῶν τοιουτοτρόπων θρεμμάτων τε καὶ ἐπιτηδευμάτων.* Polit. 261. D: *τὴν δὲ κοινὴν τῶν ἐν ταῖς ἀγέλαις θρεμμάτων ἐπιμέλειαν.* Pol. IX. 590. C. Legg. VII. 819. D: *ἔδοξέ μοι τοῦτο οὐκ ἀνθρώπινον, ἀλλὰ ὑηνῶν τινῶν εἶναι μᾶλλον θρεμμάτων.* XI. 936. E: *ἤ τι τῶν ἄλλων θρεμμάτων.* Polit. 264. A: *ἐπὶ τοῖς ἀγελαίοις ... θρέμμασιν.* 266. A. Critia 118. B: *τροφὴν τοῖς πᾶσιν ἡμέροις καὶ ἀγρίοις ἱκανὴν θρέμμασιν.* Phaedr. 230. D: *ὥσπερ οἱ τὰ πεινῶντα θρέμματα θαλλὸν ... προσείοντες ἄγουσι.* Soph. 222. A: *τὰν τούτοις θρέμματα χειρωσόμενος.* Critia 109. B: *κτήματα καὶ θρέμματα ἑαυτῶν ἡμᾶς ἔτρεφον.* Legg. VII. 789. B: *τρέφουσι ... ὀρνίθων θρέμματα.* 790. D: *περὶ τὰ νεογενῆ παίδων θρέμματα.* Phaedr. 261. A: *πάριτε δή, θρέμματα γενναῖα,* cet.

θρεπτικός, ή, όν, *alendi vim habens.* Polit. 267. B: *τέχνη τῆς ἀκεράτου φύσεως θρεπτική.* 276. B: *μηδεμίαν εἶναι τέχνην ἐν ἡμῖν ἀξίαν τούτου τοῦ θρεπτικοῦ προσρήματος.* C: *τῆς δίποδος ἀγέλης εἶναί τινα θρεπτικὴν τέχνην.*

θρῆνος, ὁ, *lamentatio*; *luctus*; *carmen lugubre.* Phil. 50. C: *θρήνου πέρι καὶ φθόνου* cet. 47. E: *θρῆνον.* 50. B. Pol. III. 398. D: *θρήνων τε καὶ ὀδυρμῶν ἔφαμεν ἐν λόγοις οὐδὲν προςδεῖσθαι.* Legg. XII. 947. B: *θρήνων τε καὶ ὀδυρμῶν χωρὶς γίγνεσθαι.* Phil. 48. A: *τὰς ἐν τοῖς θρήνοις καὶ πόθοις ἡδονάς.* 50. B: *ἐν θρήνοις τε καὶ τραγῳδίαις.* Pol. III. 395. E: (*ἐν*) *πένθεσι καὶ θρήνοις ἐχομένην.* 387. E: *ὀρθῶς ἄρ᾽ ἂν ἐξαιρῶμεν τοὺς θρήνους τῶν ὀνομαστῶν ἀνδρῶν.* 388. D: *πολλοὺς ἐπὶ σμικροῖσι παθήμασι θρήνους*

ἂν ᾄδοι καὶ ὀδυρμούς. IX. 578. A. Legg. III. 700. B: ᾠδῆς ἕτερον εἶδος, θρήνους cet. D: κεραννύντες ... θρήνους τε ὕμνοις cet.

θρηνῶ, *lugeo*, *lamentor*. Tim. 47. B: ὀδυρόμενος ἂν θρηνοῖ μάτην. Legg. XII. 960. A: θρηνεῖν ... καὶ ἔξω τῆς οἰκίας φωνὴν ἐξαγγέλλειν. Menex. 248. C. Apol. 38. D: θρηνοῦντός τέ μου καὶ ὀδυρομένου. Menex. 248. B: οὐ θρηνοῦντες οὐδὲ ὀλοφυρόμενοι. Phaed. 85. A: αὐτοὺς (τοὺς κύκνους) θρηνοῦντας τὸν θάνατον ὑπὸ λύπης ἐξᾴδειν. Ib. ἅ δή φασι διὰ λύπην θρηνοῦντα ᾄδειν.

θρηνώδης, ὁ, ἡ, *lugubris*, *querulus*. Legg. VII. 792. A: ὁ ... δύςκολος ... ἆρ' οὐ δοκεῖ σφῷν θρηνώδης τε εἶναι cet. Pol. X. 606. A: ἀνίησι τὴν φυλακὴν τοῦ θρηνώδους τούτου. III. 398. D: τίνες ... θρηνώδεις ἁρμονίαι; 411. A: τὰς ... θρηνώδεις ἁρμονίας.

θρηνῳδία, ἡ, *lamentatio*. Pol. X. 604. D: ἰατρικῇ τὴν θρηνῳδίαν ἀφανίζοντα.

θριγκός, ὁ, *apex*, *culmen*. Pol. VII. 534. E: ἆρ' οὖν δοκεῖ σοι ... ὥσπερ θριγκὸς τοῖς μαθήμασιν ἡ διαλεκτικὴ ἡμῖν ἐπάνω κεῖσθαι —;

θρίξ, ἡ, *pilus*; *coma* s. *capillus*. Parm. 130. C: οἷον θρὶξ ἢ πηλὸς cet. Tim. 76. C. Alc. I. 120. B: ἔτι τὴν ἀνδραποδώδη ... τρίχα ἔχοντες ἐν τῇ ψυχῇ. Polit. 270. E: τῶν ... πρεσβυτέρων αἱ λευκαὶ τρίχες ἐμελαίνοντο. Ion. 535. C: ὀρθαὶ αἱ τρίχες ἵστανται ὑπὸ φόβου. Tim. 76. C: τὸ τριχῶν γένος ἐν τῷ δέρματι πέφυκε. 91. D: ἀντὶ τριχῶν πτερὰ φύον. Prot. 321. A: ἀμφιεννὺς αὐτὰ πυκναῖς τε θριξὶ καὶ στερεοῖς δέρμασιν. 334. B: ταῖς θριξὶ πολεμιώτατον ταῖς τῶν ἄλλων ζώων πλὴν ταῖς τοῦ ἀνθρώπου. Conv. 190. E. Phaed. 89. B: ξυμπιέσας τὰς ἐπὶ τῷ αὐχένι τρίχας. Ib. παίζειν ... εἰς τὰς τρίχας. Conv. 207. D: κατὰ τὰς τρίχας καὶ σάρκα cet. Pol. III. 391. B. Tim. 64. C. 76. E: τρίχας ὄνυχάς τε ἐπ' ἄκροις τοῖς κώλοις ἔφυσαν. Lys. 217. D: εἴ τίς σου ξανθὰς οὔσας τὰς τρίχας ψιμυθίῳ ἀλείψειε.

θρόμβος, ὁ, *grumus*. Critia 120. A: θρόμβον ἐνέβαλλον αἵματος.

θρόνος, ὁ, *solium*. Pol. VIII. 553. B: εὐθὺς ἐπὶ κεφαλὴν ὠθεῖ ἐκ τοῦ θρόνου τοῦ ἐν τῇ ἑαυτοῦ ψυχῇ φιλοτιμίαν cet. Prot. 315. C: καθήμενον ... ἐν θρόνῳ. Pol. X. 617. B. VIII. 553. C: ἆρ' οὐκ οἴει τὸν τοιοῦτον τότε εἰς ... τὸν θρόνον ἐκεῖνον τὸ ἐπιθυμητικὸν ... ἐγκαθίζειν —; X. 621. A: ἐντεῦθεν ... ὑπὸ τὸν τῆς Ἀνάγκης ἰέναι θρόνον.

θρόνωσις, ἡ, caerimonia dicebatur qua mystae Corybantum sacris initiandum in solio collocabant et circa eum saltabant. Euthyd. 277. D: ὅταν τὴν θρόνωσιν ποιῶσι περὶ τοῦτον ὃν ἂν μέλλωσι τελεῖν.

θρυλλῶ et *θρυλῶ*, *decanto*, *in ore habeo*, *celebro*. Phaed. 65. B: ἢ τά γε τοιαῦτα καὶ οἱ ποιηταὶ ἡμῖν ἀεὶ θρυλοῦσιν

(v. *θρυλλοῦσιν*) ὅτι cet. 76. D: *ἃ θρυλοῦμεν ἀεί.* Ax. 365. B: *τὸ κοινὸν ... καὶ ... θρυλλούμενον.* 364. B: *τὴν ἀεὶ θρυλλουμένην πρὸς σοῦ σοφίαν.*

θρύπτω, *tero, comminuo.* Crat. 426. E: *θρύπτειν, κερματίζειν.* Parm. 165. B: *θρύπτεσθαι ... κερματιζόμενον ἀνάγκη πᾶν τὸ ὄν.* **mollem* vel *delicatum* aliquem *reddo.* Legg. VI. 778. A: *θρύπτοντες.* Locr. 103. B: *θρύπτοισα τὰν ψυχὰν ἢ ῥωννῦσα ποτ' ἀλκάν.* Unde med. *delicatus sum, fastidiosum me praebeo.* Legg. VI. 777. E: *θρύπτεσθαι ποιεῖν.* Phaedr. 228. C: *ἐθρύπτετο, ὡς δὴ οὐκ ἐπιθυμῶν λέγειν.* 236. C.

θυγάτηρ, ἡ, *filia.* Conv. 179. B: *ἡ Πελίου θυγάτηρ Ἄλκηστις.* 180. D: *Οὐρανοῦ θυγάτηρ.* Legg. XI. 925. D. Conv. 199. D: *ἔστιν υἱέος γε ἢ θυγατρὸς ὁ πατὴρ πατήρ.* Pol. III. 393. D. Legg. XI. 924. D: *νυμφίον δ' εἶναι τῇ θυγατρί.* Gorg. 512. C: *τῷ υἱεῖ αὐτοῦ οὔτ' ἂν θυγατέρα ἐθέλοις* cet. Pol. III. 392. E. al. Ep. XIII. 361. C: *εἰσί μοι ἀδελφιδῶν θυγατέρες.* Legg. VI. 765. D: *υἱέων καὶ θυγατέρων.* XI. 924. D. I. 650. A: *αὐτοῦ θυγατέρας τε καὶ υἱεῖς καὶ γυναῖκας.* Ep. XIII. 363. A: *ταῖς Κέβητος θυγατράσι.*

θυηπολῶ, *sacra facio.* Pol. II. 364. E: *καθ' ἃς θυηπολοῦσι.*

θύλακος, ὁ, *saccus.* Theaet. 161. A: *ὅτι με οἴει λόγων τινὰ εἶναι θύλακον.*

θῦμα, τό, *quicquid immolatur* vel *diis offertur*, ut victima; in univ. *sacrificium.* Def. 415. B: *θυσία θεῷ δόμα θύματος.* Pol. II. 378. A: *θυσαμένους οὐ χοῖρον, ἀλλά τι μέγα καὶ ἄπορον θῦμα.* Critia 119. D: *ἐπευξάμενοι τῷ θεῷ τὸ κεχαρισμένον αὐτῷ θῦμα ἑλεῖν.* Legg. VI. 782. C: *θύματα ... οὐκ ἦν τοῖς θεοῖσι ζῶα, πελανοὶ δὲ καὶ μέλιτι καρποὶ δεδευμένοι καὶ τοιαῦτα ἄλλα ἁγνὰ θύματα.* V. 741. C: *ἐπὶ τοῖς πρώτοις θύμασι καὶ δευτέροις.* VII. 799. A: *ἐπὶ τοῖς τῶν θεῶν θύμασιν ἑκάστοις.* X. 888. C: *θύμασι καὶ εὐχαῖς.* XII. 953. E. Polit. 290. E: *τὰ μέγιστα τῶν περὶ τὰ τοιαῦτα θύματα ... θύειν.* Critia 120. B: (*ἐπεὶ*) *τὸ πῦρ ἐψυγμένον τὸ περὶ τὰ θύματα εἴη.* Legg. X. 909. E: *τοῖς ἱερεῦσι ... ἐγχειριζέτω τὰ θύματα.* XII. 948. C: *σμικρὰ δεχόμενοι θύματα.*

θυμίαμα, τό, *suffimentum, odores.* Pol. II. 373. A: *μύρα καὶ θυμιάματα.* Legg. VIII. 847. C: *ὅσα περὶ θεοὺς τὰ τοιαῦτ' ἐστὶ ξενικὰ θυμιάματα.* Pol. IX. 573. A: *θυμιαμάτων τε γέμουσαι καὶ μύρων* cet.

θυμιατικός, ή, όν, *ad suffitum idoneus.* Tim. 61. C: *πάντα ὅσα κηροειδῆ καὶ θυμιατικὰ σώματα ξυμπήγνυται.*

θυμικός, ή, όν, *iracundus; τὸ θυμ. iracunda animi pars.* Def. 415. E: *ὀργὴ παράκλησις τοῦ θυμικοῦ εἰς τὸ τιμωρεῖσθαι.*

θυμιῶ, *suffio, suffitus causa incendo*; intr. *vaporo.* Tim. 66. D: *τηκομένων ἢ θυμιωμένων γίγνονταί τινων* (*ὀσμαί*).

θυμοειδής, ὁ ἡ, *animosus; iracundus.* Pol. II. 376. C:

φιλόσοφος ... καὶ θυμοειδὴς cet. V. 456. A: *καὶ θυμοειδής, ἡ δ' ἄθυμος;* IV. 441. A: *τὸ θυμοειδές, ἐπίκουρον ὂν τῷ λογιστικῷ φύσει.* 442. C. Locr. 100. A. Pol. III. 411. C: *ὀργίλοι ἀντὶ θυμοειδοῦς.* IV. 440. E. Def. 413. A: *ἀπάθεια τοῦ θυμοειδοῦς.* Pol. II. 375. E: *πρὸς τῷ θυμοειδεῖ ἔτι προςγενέσθαι καὶ φιλόσοφος τὴν φύσιν.* 375. C: *ἐναντία γάρ που θυμοειδεῖ πραεῖα φύσις.* IV. 441. E: *τῷ ... θυμοειδεῖ (προςήκει) ὑπηκόῳ εἶναι καὶ ξυμμάχῳ τούτου (τοῦ λογιστικοῦ).* VIII. 550. B. II. 375. B: *ὅτι γε θυμοειδῆ (δεῖ τὸν φύλακα εἶναι).* Legg. V. 731. B. D. Pol. III. 411. B: *ἐὰν ... θυμοειδῆ (φύσιν λάβῃ).* Tim. 18. A. Pol. III. 410. B: *πρὸς τὸ θυμοειδὲς τῆς φύσεως βλέπων κἀκεῖνο ἐγείρων.* 411. A: *εἴ τι θυμοειδὲς εἶχεν.* E. IV. 435. E. IX. 581. A: *τὸ θυμοειδὲς οὐ πρὸς τὸ κρατεῖν μέντοι φαμὲν καὶ νικᾶν καὶ εὐδοκιμεῖν ἀεὶ ὅλον ὡρμῆσθαι;* De virt. 378. D: *οἵτινές τε θυμοειδεῖς καὶ ἄθυμοι.* Pol. V. 467. E: *ἐφ' ἵππων ... μὴ θυμοειδῶν μηδὲ μαχητικῶν.* VIII. 547. E: *ἐπὶ ... τοὺς θυμοειδεῖς τε καὶ ἁπλουστέρους ἀποκλίνειν.*

θυμός, ὁ, animus, praec. *commotus;* hinc *excandescentia, iracundia.* Crat. 419. E: *θυμὸς ... ἀπὸ τῆς θύσεως καὶ ζέσεως τῆς ψυχῆς ἔχοι ἂν τοῦτο τὸ ὄνομα.* Pol. II. 375. B: *ὡς ἄμαχόν τε καὶ ἀνίκητον θυμός.* IV. 440. C. Tim. 70. D. Legg. I. 649. D: *θυμός, ἔρως* cet. IX. 863. B: *θυμός, δύςερι καὶ δύςμαχον κτῆμα ἐμπεφυκός.* XI. 929. A: *ὃν ἂν θυμὸς ἐπίῃ μηδαμῶς εὐτυχὴς* cet. Def. 415. E: *θυμὸς ὁρμὴ βίαιος ἄνευ λογισμοῦ.* Prot. 351. A: *ἀπὸ μανίας γε καὶ ἀπὸ θυμοῦ.* Pol. IV. 441. A: *ὅτι θυμοῦ ... εὐθὺς γενόμενα μεστά ἐστι (τὰ παιδία).* IX. 586. D: *πλησμονὴν ... θυμοῦ διώκων.* X. 606. D. Tim. 70. B: *ὅτε ζέσειε τὸ τοῦ θυμοῦ μένος* (v. *γένος*). C: *τῇ τοῦ θυμοῦ ἐγέρσει.* Legg. V. 731. B: *τοῦτο ... ἄνευ θυμοῦ γενναίου ψυχὴ πᾶσα ἀδύνατος δρᾶν.* IX. 869. A: *ἐὰν ... τις εἰς τοσοῦτον ἀκρατὴς θυμοῦ γένηται* cet. XI. 934. D. al. Pol. IX. 586. C: *ὃς ἂν αὐτὸ τοῦτο διαπράττηται ... θυμῷ διὰ δυςκολίαν.* Legg. IX. 866. D: *(ἐὰν) θυμῷ ... ᾖ τὸ πεπραγμένον ἐκπραχθέν.* 867. B: *οἱ τῷ θυμῷ πραχθέντες φόνοι.* D. 868. A. XI. 935. A: *πράγματι ... ἀχαρίστῳ, θυμῷ, χαριζόμενος.* C: *τοὺς θυμῷ, ἑτέρῳ κακῷ, φιλοφρονουμένους.* Prot. 352. B: *τοτὲ μὲν θυμόν, τοτὲ δὲ ἡδονὴν* cet. Crat. 419. E: *τῇ ... ἐπὶ τὸν θυμὸν ἰούσῃ δυνάμει.* Pol. III. 411. B: *ἕως ἂν ἐκτήξῃ τὸν θυμόν.* Ib. *ἀσθενῆ ποιήσας τὸν θυμόν.* V. 465. A: *πληρῶν τὸν θυμόν.* Legg. IX. 867. A: *ὁ ... τὸν θυμὸν φυλάττων* cet. D: *κολάζων τὸν αὑτοῦ θυμόν.* 869. E: *τὰ ... κατὰ τὸν θυμὸν γιγνόμενα περὶ φόνους.* X. 888. A: *σβέσαντες τὸν θυμόν.* Prot. 323. E: *ἐπὶ τούτοις ... οἵ τε θυμοὶ γίγνονται καὶ αἱ κολάσεις* cet. Locr. 102. E: *θυμοὶ βαρεῖς.* Phil. 40. E: *περὶ φόβων τε καὶ θυμῶν.* 47. E: *τοῖς θυμοῖς καὶ ταῖς ὀργαῖς.* Legg. XI. 934. A: *(ἐν) θυμοῖς δυςιά-*

τοις γιγνομένοις. I. 633. D: *αἳ ... τοὺς θυμοὺς μαλάττουσαι κηρίνους ποιοῦσιν.* 645. D.

θυμοῦμαι, *excandesco*, *irascor*, et in univ. *vehementius commoveor*, *ferveo.* Prot. 323. D: *οὐδεὶς θυμοῦται.* 324. A: *ἔνθα δὴ πᾶς παντὶ θυμοῦται καὶ νουθετεῖ.* Pol. IX. 580. D: *τὸ δὲ ᾧ θυμοῦται (ἄνθρωπος).* Legg. IX. 865. D. Euth. 3. D: *θυμοῦνται.* Pol. IV. 436. A: *θυμούμεθα ... ἄλλῳ τῶν ἐν ἡμῖν.* 439. E. Pol. V. 465. A: *εἴ πού τίς τῳ θυμοῖτο.* Legg. IV. 717. D. X. 888. A: *ὑπὸ τοῦ θυμοῦσθαι τοῖς τοιούτοις.* Ep. VII. 349. A: *οἷα (χρώματα) ἂν θυμούμενος ἀφείη.* Pol. IV. 441. C: *τῷ ἀλογίστως θυμουμένῳ.* 440. B: *λοιδοροῦντά τε αὑτὸν καὶ θυμούμενον τῷ βιαζομένῳ ἐν αὑτῷ.* Legg. III. 692. A: *ἔτι σπαργῶσαν καὶ θυμουμένην τὴν ὀργὴν ὁρῶν.* Tim. 70. C: *οἴδησις ... τῶν θυμουμένων.* Legg. IV. 717. D: *θυμουμένοις ... ὑπείκειν δεῖ.* XI. 936. A: *θυμουμένοισι μὴ ἐξέστω.* Ep. VII. 346. A: *τεθυμωμένοις.* Pol. VII. 536. C: *ὥσπερ θυμωθεὶς τοῖς αἰτίοις.* Legg. XI. 931. B: *θυμωθέντα.* Ep. VII. 348. A: *θυμωθέντες.*

θύρα, *ἡ*, *ianua.* Prot. 314. D: *ἐγκεκλῃμένης* (v. *ἐγκεκλεισμένης*) *τῆς θύρας.* 310. A: *τὴν θύραν τῇ βακτηρίᾳ πάνυ σφόδρα ἔκρουε.* 314. D. Conv. 174. E: *ἀνεῳγμένην καταλαμβάνειν τὴν θύραν.* Lys. 303. B. Charm. 153. E: *ἀποβλέψας πρὸς τὴν θύραν.* Conv. 203. D: *ἐπὶ θύραις καὶ ἐν ὁδοῖς ὑπαίθριος κοιμώμενος.* Legg. XI. 933. B. Phaedr. 233. E: *ἐπὶ τὰς θύρας ἥξουσι.* 245. A: *ὃς ... Μουσῶν ἐπὶ ποιητικὰς θύρας ἀφίκηται.* Phil. 62. C: *ἀναπετάσας τὰς θύρας.* Conv. 203. B: *ἦν περὶ τὰς θύρας.* 223. B: *κωμαστὰς ἥκειν ... ἐπὶ τὰς θύρας.* Pol. II. 364. B: *ἐπὶ πλουσίων θύρας ἰόντες.* Id. VI. 489. B. C. Legg. XII. 953. D. Alc. II. 143. E: *ἐλθόντα ἐπὶ τὰς θύρας.* Eryx. 398. E.

θύραζε, *foras.* Locr. 102. A: *ῥεῖ ... διὰ τῶ σώματος ἔξω θύραζε τὰ πνεύματα.*

θυραυλία, *ἡ*, in eo dicitur qui *sub dio degit.* Locr. 103. B: *ταὶ ... θυραυλίαι καὶ ἁπλαῖ τροφαὶ* cet.

θυραυλῶ, *sub dio dego.* Legg. III. 695. A: *δυναμένους θυραυλεῖν καὶ ἀγρυπνεῖν.* Polit. 272. A: *γυμνοὶ δὲ καὶ ἄστρωτοι θυραυλοῦντες τὰ πολλὰ ἐνέμοντο.*

θυρίς, *ἡ*, plur. *fores.* Pol. II. 359. D: *ἵππον χαλκοῦν ... θυρίδας ἔχοντα.*

θύρωμα, *τό*, *ianua.* Polit. 280. D: (*περὶ*) *τὰς τῶν θυρωμάτων πήξεις.*

θυρωρός, *ὁ*, *ianitor.* Prot. 314. C: *ὁ θυρωρός, εὐνοῦχός τις.* Phaed. 59. E. Phil. 62. C: *ὥσπερ θυρωρὸς ὑπ' ὄχλου τινὸς ὠθούμενος καὶ βιαζόμενος.* Ep. VII. 347. A.

θυσία, *ἡ*, *sacrificium*; etiam dies festus qui sacris celebratur (vern. *Opferfest*). Phaed. 61. B: *εἰς τὸν θεὸν ... οὗ ἦν ἡ παροῦσα θυσία.* Legg. VII. 800. B: *θυσίας γενομένης.* XII. 949. D: *περὶ θυσίας εἰρηνικῆς.* Alc. II. 150. C. Tim.

26. E: τῇ ... παρούσῃ τῆς θεοῦ θυσίᾳ. Conv. 174. C: θυσίαν ποιουμένου. Legg. VII. 799. A. 800. C. Alc. II. 151. A: τὴν θυσίαν ἀναβάλλεσθαι. Ep. VII. 349. D: ὡς τὰς γυναῖκας ... δέοι θῦσαι θυσίαν τινὰ δεχήμερον. Conv. 188. B: θυσίαι πᾶσαι. Pol. IV. 427. B. Legg. VII. 809. D: θυσίαι καὶ ἑορταί. VIII. 828. A. 835. E. Phil. 290. E: τῷ ... βασιλεῖ φασὶ ... τὰ σεμνότατα καὶ μάλιστα πάτρια τῶν ἀρχαίων θυσιῶν ἀποδεδόσθαι. Pol. II. 364. E: διὰ θυσιῶν καὶ παιδιᾶς ἡδονῶν. V. 461. A: οὐχ ὑπὸ θυσιῶν οὐδ' ὑπὸ εὐχῶν φύς. Legg. V. 738. D: μετὰ θυσιῶν. VI. 772. B: θυσιῶν τε καὶ χορειῶν. Id. VII. 804. A. IX. 871. C: διά τινων ἐπευχῶν καὶ θυσιῶν θεοῖς τισίν. XII. 947. A. 950. E. Conv. 197. D: ἐν θυσίαις γιγνόμενος ἡγεμών. Pol. II. 364. B: θυσίαις τε καὶ ἐπῳδαῖς. III. 394. A: ἐν ἱερῶν θυσίαις. X. 885. B: θυσίαις τε καὶ εὐχαῖς. XI. 935. B: ἔν τισι δημοτελέσι θυσίαις. Ion. 535. D: ἐν θυσίαις καὶ ἑορταῖς. Menex. 244. A: εὐχαῖς καὶ θυσίαις. Conv. 189. C: θυσίας ... ποιεῖν μεγίστας. 202. E: τῶν μὲν (ἀνθρώπων) τὰς δεήσεις καὶ θυσίας. Pol. I. 331. B: μηδ' αὖ ὀφείλοντα ἢ θεῷ θυσίας τινὰς ἢ ἀνθρώπῳ χρήματα. II. 362. C: θεοῖς θυσίας ... θύειν. IV. 419: θυσίας θεοῖς ἰδίας θύοντες. Critia 113. B: ἱερὰ θυσίας τε αὐτοῖς κατασκευάζοντες. Legg. I. 642. D. V. 738. C: θυσίας τελεταῖς συμμίκτους κατεστήσαντο. X. 908. C: καὶ περὶ θυσίας τε καὶ ὅρκους. 909. E: θυσίας εὔχεσθαι. Epin. 985. E: ἑορτάς τε αὐτοῖς γίγνεσθαι ... καὶ θυσίας. Alc. II. 148. E: οἳ πλείστας ... θυσίας καὶ καλλίστας τῶν Ἑλλήνων ἄγομεν. 149. C. 150. A. De lege 315. C: οἵας θυσίας θύουσιν Ἕλληνες ὄντες!

θύσις, ἡ, *fervor*. Crat. 419. E: θυμὸς ... ἀπὸ τῆς θύσεως καὶ ζέσεως τῆς ψυχῆς ἔχοι ἂν τοῦτο τὸ ὄνομα.

θύω, *sacrifico, macto; sacris celebro*. Alc. I. 121. C: βασιλέως γενέθλια ἅπασα θύει καὶ ἑορτάζει ἡ Ἀσία. Legg. VII. 801. A: τοῖς θεοῖς οἷς θύομεν ἑκάστοτε. Alc. II. 149. A: ὥστε καὶ ἀνάπηρα θύουσιν ἑκάστοτε. Phaedr. 251. A: θύοι ἂν ὡς ἀγάλματι καὶ θεῷ τοῖς παιδικοῖς. Legg. VIII. 828. B: ὅπως ἂν μία γέ τις ἀρχὴ θύῃ. VII. 791. A: οἷς ἂν καλλιεροῦντες ἕκαστοι θύωσιν. Polit. 290. E: τὰ μέγιστα ... θύματα ... θύειν. Pol. II. 362. C: θυσίας ... θύειν. Legg. IV. 716. D. al. Euth. 14. C: οὐκοῦν τὸ θύειν δωρεῖσθαί ἐστι τοῖς θεοῖς —; Alc. II. 149. E. De lege 315. B: ἀνθρώπους θύειν. Legg. X. 610: ὡς οὐ καθαρὸς ὢν θύων. Euth. 14. B. Legg. VIII. 828. A: θυούσῃ τῇ πόλει. VII. 803. E: θύοντα καὶ ᾄδοντα cet. Pol. IV. 419: θυσίας θεοῖς ἰδίας θύοντες. Legg. X. 887. D: θυόντων ἐν σπουδῇ τῇ μεγίστῃ τῶν αὐτῶν γονέων. VII. 821. D: εὐφημεῖν ... ἀεὶ θύοντας. VIII. 828. C: θύοντας ... ἔμμηνα ἱερά. Pol. I. 328. C: τεθυκὼς ... ἐτύγχανεν ἐν τῇ αὐλῇ. Lys. 206. E: κατελάβομεν αὐτόθι τεθυκότας ... τοὺς παῖδας. Legg. VII.

800. C: *δημοσίᾳ γάρ τινα θυσίαν ὅταν ἀρχή τις θύσῃ.* Euthyd. 302. A: *θῦσαι.* E. Ep. VII. 349. D. Legg. X. 910: *εἴτ' ἐν δημοσίοις θύσας ἱερὰ θεοῖς οἱστισινοῦν.* VII. 800. D: *τὴν θύσασαν ... πόλιν.* Pol. III. 415. E: *θύσαντες οἷς χρή.* Critia 119. E. Pol. II. 365. A: *μὴ θύσαντας δὲ δεινὰ περιμένει.* Legg. VII. 799. B: *τοῖς ἄλλοις πᾶσι θεοῖς θύσαντας.* X. 909. D: *πρὸς τὰ δημόσια ἴτω θύσων.* Med. *sacra instituo, sacra facienda* vel *mactandum curo.* Legg. I. 642. D: *ὃς ... θυσίας ... ἐθύσατό τινας.* Conv. 201. D: *Ἀθηναίοις θυσαμένοις πρὸ τοῦ λοιμοῦ.* Pol. II. 378. A: *θυσαμένους οὐ χοῖρον, ἀλλά τι ... ἄπορον θῦμα.* — Verb. Pol. II. 365. E: *θυτέον ἀπὸ τῶν ἀδικημάτων.*

θῶκος, v. *θᾶκος.*

θωπεία, ἡ, adulatio, pl. *blanditiae.* Legg. VI. 762. A: *ταῖς ... θωπείαις ὑπείκοντες.* X. 906. B: *δῆλον ὅτι ... πείθουσι θωπείαις λόγων.* XI. 923. B. Pol. IX. 579. D: *δοῦλος τὰς μεγίστας θωπείας καὶ δουλείας.* Legg. I. 633. D: *πρὸς ... ἡδονὰς καί τινας δεινὰς θωπείας κολακικάς.* XII. 948. C: *σμικρὰ δεχόμενοι θύματα καὶ θωπείας πολλάς.*

θώπευμα, τό, blandimentum. Pol. IX. 590. C: *τὰ θωπεύματα αὐτῶν ... μανθάνειν.*

θωπευτικός, ή, όν, blandus. Legg. I. 634. A: *πρὸς τὰ ... θωπευτικὰ ἀδυνατοῦσαν (ἀντιβαίνειν).*

θωπεύω, blandior, mulceo. Pol. VIII. 563. A: *φοιτητὰς φοβεῖται καὶ θωπεύει.* IX. 579. A: *οὐκοῦν ἀναγκάζοιτο ἄν τινας ἤδη θωπεύειν αὐτῶν τῶν δούλων —;* Crit. 51. B: *θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα.* Theaet. 173. A: *ἐπιστάμενοι τὸν δεσπότην λόγῳ ... θωπεῦσαι.* Ep. III. 315. B: *αὐτῷ τούτῳ θωπεύσας τῷ ῥήματι.*

θώραξ, ὁ, thorax (pectus). Tim. 69. E: *διοικοδομοῦσι τοῦ θώρακος αὖ τὸ κύτος.* Ib. *ἐν ... τοῖς στήθεσι καὶ τῷ καλουμένῳ θώρακι.* **lorica.* Ep. XIII. 363. A: *Κρατίνῳ ... θώρακα δωρησόμεθα ὁπλιτικὸν τῶν μάλα καλῶν τῶν πεζῶν.* C: *ἂν τὸν θώρακα ... πέμπῃς.*

θώψ, ὁ, adulator; adi. *blandus.* Theaet. 175. E: *μηδὲ ὄψον ἡδῦναι ἢ θῶπας λόγους.*

I.

ἰῶτα, τό. Crat. 418. C: *νῦν ... ἀντὶ ... τοῦ ἰῶτα ἢ εἶ* (v. *ε*) *ἢ ἦτα μεταστρέφουσιν.* B: *οἶσθα ὅτι οἱ παλαιοὶ οἱ ἡμέτεροι τῷ ἰῶτα καὶ τῷ δέλτα εὖ μάλα ἐχρῶντο.* 426. E: *τῷ δ' αὖ ἰῶτα πρὸς τὰ λεπτὰ πάντα, ἃ δὴ μάλιστα διὰ πάντων ἴοι ἄν (φαίνεταί μοι κατακεχρῆσθαι).* 399. B: *τό τε ἕτερον αὐτόθεν ἰῶτα ἐξείλομεν.* 407. B. 419. A. 421. B.

ἴαμα, τό, *sanatio*; *medela*. Tim. 66. C: προςφιλὲς παντὶ πᾶν τὸ τοιοῦτον ἴαμα τῶν βιαίων παθημάτων γιγνόμενον. Legg. VI. 771. C: αὕτη δ' ἔχει σμικρότατον ἴαμα. XII. 957. E: θάνατον ἴαμα ταῖς οὕτω διατεθείσαις ψυχαῖς διανέμοντες. VII. 790. D: αἱ περὶ τὰ τῶν Κορυβάντων ἰάματα τελοῦσαι.

ἰαμβεῖον, τό, *iambus*. Euthyd. 291. D: κατὰ τὸ Αἰσχύλου ἰαμβεῖον. Pol. II. 380. A: ἐν οἷς ταῦτα τὰ ἰαμβεῖα ἔνεστι. X. 602. B: τοὺς ... τῆς τραγικῆς ποιήσεως ἁπτομένους ἐν ἰαμβείοις καὶ ἐν ἔπεσι.

ἴαμβος, ὁ, *iambus*; pl. *carmina iambica*. Pol. III. 400. B: καὶ ... ἴαμβον καί τιν' ἄλλον τροχαῖον ὠνόμαζε. Legg. XI. 935. E: ποιητῇ ... κωμῳδίας ἢ τινος ἰάμβων ἢ (ἢ ἰάμβων ἤ τινος?) Μουσῶν μελῳδίας. Ion. 534. C: ὁ δ' ἔπη, ὁ δ' ἰάμβους (οἷός τε ποιεῖν).

ἰάσιμος, ὁ, ἡ, *sanabilis* (etiam trop.). Gorg. 526. B: ἐάν τε ἰάσιμος ἐάν τε ἀνίατος δοκῇ εἶναι. Legg. IX. 878. C: ἂν τὸ τραῦμα ἰάσιμον ἀποβῇ. XII. 941. E: ὡς ἰασίμῳ ἐκ τῶν εἰκότων ὄντι. Ib. τὸν μὲν ἴσως ἂν ἰάσιμον ἔτ' εἶναι, τὸν δ' ἀνίατον. 957. E: ὅσοις ἰάσιμοι δόξαι τῶν κακῶν. Gorg. 525. B: οἳ ἂν ἰάσιμα ἁμαρτήματα ἁμάρτωσιν. Phaed. 113. E. Legg. V. 731. D: τὸν ... ἰάσιμα (κακὰ) ἔχοντα.

ἴασις, ἡ, *sanatio*; *remedium*. Legg. IX. 862. C: τὸ δὲ τῆς ἰάσεως ἡμῖν τῆς ἀδικίας τῇδε ῥέπειν χρὴ φάναι. Phaedr. 248. D: ἢ περὶ σώματος ἴασίν τινα ἐσομένου. Conv. 188. C: περὶ Ἔρωτος φυλακήν τε καὶ ἴασιν. Pol. VII. 515. C: σκόπει ... αὐτῶν λύσιν τε καὶ ἴασιν τῶν τε δεσμῶν καὶ τῆς ἀφροσύνης. Legg. I. 635. A: ἴασιν ἐξ αὐτοῦ συμβαίνει γίγνεσθαι τῷ μὴ φθόνῳ τὰ λεγόμενα, ἀλλ' εὐνοίᾳ δεχομένῳ. VII. 790. E: καθάπερ αἱ τῶν ἐκφρόνων βακχειῶν ἰάσεις. Phil. 46. A: τὰς τῆς ψώρας ἰάσεις τῷ τρίβειν.

ἴασπις, ἡ, *iaspis*. Phaed. 110. D: σάρδιά τε καὶ ἰάσπιδας cet.

ἰαστί, *dorice*, *dorico modo*. Lach. 188. D: ἀτεχνῶς δωριστί, ἀλλ' οὐκ ἰαστί (ἡρμοσμένος αὐτὸς αὑτοῦ τὸν βίον). Est quoque i. q. ἡ ἰαστί (ἁρμονία). Pol. III. 398. E: ἰαστὶ ... καὶ λυδιστί, αἵτινες (ἁρμονίαι) χαλαραὶ καλοῦνται.

ἰατός, ή, όν, qui *sanari*, etiam qui *sarciri potest*. Legg. XII. 949. D: ἰατὴν εἶναι τὴν πρώτην ἀνάγκην τῆς ζημίας (si sana script.). IX. 862. C: τούτων ὁπόσα ... ἰατά. V. 731. C: ὅσοι ἀδικοῦσι μέν, ἰατὰ δέ.

ἰατρεῖον, τό, *medici officina*. Pol. III. 405. A: ἆρ' οὐ δικαστήριά τε καὶ ἰατρεῖα πολλὰ ἀνοίγεται —; Legg. IV. 720. C: ἐν τοῖς ἰατρείοις περιμένοντες. I. 646. C: τοὺς εἰς τὰ ἰατρεῖα αὐτοὺς βαδίζοντας.

ἰάτρευσις, ἡ, *medicina*. Pol. II. 357. C: ἰάτρευσίς τε καὶ ὁ ἄλλος χρηματισμός.

ἰατρεύω, *sano*, *medeor*; etiam *emendo*. Legg. IX. 857. D:

οὐκ ἰατρεύεις τὸν νοσοῦντα, ἀλλὰ σχεδὸν παιδεύεις. IV. 720. C: *τοὺς ... δούλους σχεδόν τι οἱ δοῦλοι τὰ πολλὰ ἰατρεύουσι περιτρέχοντες* cet. Conv. 188. C: *ἰατρεύειν.* Ep. IV. 320. E: *σὺ φαίνου ἰατρεύων.* Legg. V. 728. C: *ὁ μὲν οὐκ ἰατρευόμενος, ὁ δὲ ... ἀπολλύμενος.* VIII. 843. C. IX. 857. C: *δούλοις ὡς ἰατρευομένοις ὑπὸ δούλων.* — Med. *sanandum me curo.* Gorg. 478. B: *ἆρ᾽ οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστι καὶ χαίρουσιν οἱ ἰατρευόμενοι;* 479. A. Pol. II. 357. C: *τὸ κάμνοντα ἰατρεύεσθαι.* Gorg. 478. B: *ἆρ᾽ οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστι καὶ χαίρουσιν οἱ ἰατρευόμενοι;* 479. A. Pol. II. 357. C: *τὸ κάμνοντα ἰατρεύεσθαι.* Gorg. 478. C: *ἰατρευόμενος.* D. Pol. III. 406. B. C: *οὐδενὶ σχολὴ διὰ βίου κάμνειν ἰατρευομένῳ.* Polit. 296. B: *μὴ πείθων τὸν ἰατρευόμενον.* Pol. IV. 426. A: *ἰατρευόμενοι ... οὐδὲν περαίνουσι.*

ἰατρικός, ή, όν, medicus; ad medendum aptus; medicinae vel *sanandi* atque etiam *curandi* vel *emendandi peritus;* fem. et neutr. *medicina.* Prot. 313. E: *ἐὰν μή τις τύχῃ περὶ τὴν ψυχὴν αὖ ἰατρικὸς ὤν.* Pol. X. 599. C: *εἰ ἰατρικὸς ἦν τις αὐτῶν.* Legg. XII. 963. B: *ἰατρικὸς νοῦς.* Charm. 171. B. Gorg. 449. E: *ἡ ἰατρική.* 478. D: *ἰατρικὴ γίγνεται πονηρίας ἡ δίκη;* 517. E: *ὅτι ἔστι τις ... τέχνη γυμναστική τε καὶ ἰατρική.* Soph. 229. A: *περὶ ... νόσον ἰατρική.* Conv. 186. C: *ἔστι γὰρ ἰατρικὴ ... ἐπιστήμη τῶν τοῦ σώματος ἐρωτικῶν πρὸς πλησμονὴν καὶ κένωσιν.* E. Pol. I. 341. E: *διὰ ταῦτα καὶ ἡ τέχνη ἐστὶν ἡ ἰατρικὴ νῦν εὑρημένη.* 342. A: *αὐτὴ ἡ ἰατρική ἐστι πονηρά —;* 346. A: *οἷον ἰατρικὴ ... ὑγίειαν (παρέχεται).* V. 455. E: *ἔστι ... καὶ γυνὴ ἰατρική, ἡ δ᾽ οὔ.* Charm. 165. C. 171. A: *καὶ ἡ ἰατρικὴ δὴ ἑτέρα εἶναι τῶν ἄλλων ἐπιστημῶν ὡρίσθη τῷ τοῦ ὑγιεινοῦ εἶναι καὶ νοσώδους ἐπιστήμη.* 174. C. Eryx. 401. C: *ἔστιν ... ἡ ἰατρικὴ τῶν ἐπιστημῶν ἡ πρὸς τοῦτο χρησίμη, πρὸς τὸ νόσους ἀπαλλάττειν.* Crat. 186. C: *καὶ τοῦτό ἐστιν ᾧ ὄνομα τὸ ἰατρικόν.* Tim. 89. B. Pol. I. 350. A: *ἰατρικοῦ ... ἢ ἀνδρὸς ἢ πράγματος.* Prot. 345. A: *ἡμεῖς ... οἱ ἰατρικῆς ἰδιῶται.* Phaedr. 269. A: *τὰ πρὸ ἰατρικῆς.* Soph. 226. E. Polit. 299. B: *ἄν τις ... ἰατρικῆς ἀλήθειαν ... ζητῶν φαίνηται παρὰ τὰ γράμματα.* Conv. 176. D. 186. A. Tim. 24. C. Legg. I. 628. D: *κάμνον σῶμα ἰατρικῆς καθάρσεως ... τυχόν.* Gorg. 464. B: *ἀντίστροφον ... τῇ ἰατρικῇ τὴν δικαιοσύνην (λέγω).* Polit. 289. A. 299. C. Conv. 187. E: *ἐν ἰατρικῇ.* Pol. I. 342. C. III. 406. A: *μίξας γυμναστικὴν ἰατρικῇ.* IV. 454. D: *ἰατρὸν ... καὶ ἰατρικὸν τὴν ψυχὴν ὄντα.* Legg. XII. 963. A: *νοῦν ... ἰατρικόν.* Alc. I. 134. E. Prot. 322. C: *εἷς ἔχων ἰατρικὴν πολλοῖς ἱκανὸς ἰδιώταις.* Gorg. 464. B: *τὴν μὲν γυμναστικήν, τὴν δὲ ἰατρικήν.* Crat. 405. A: *ἰατρικὴν καὶ τοξικήν.* Conv. 197. A. Pol. IV. 438. E. Legg. IV. 709. B. Charm. 158. E. Eryx. 404. E: *τὴν ἰατρικὴν ἐπιστήμην.* Polit. 299. C: *οὐδένα ... ἀγνοεῖν τό τε ἰατρικὸν καὶ τὸ ὑγιεινό*

De lege 316. E: *ἰατρικοὶ νόμοι.* Polit. 295. D: *ὡς ταῦτα ὄντα ἰατρικὰ καὶ ὑγιεινά.* Crat. 394. C: *καὶ ἰατρικά γε ἕτερα (ὀνόματα).* De lege 316. E. Pol. X. 599. C: *μιμητὴς ... ἰατρικῶν λόγων.* Polit. 298. C: *καθ' ὅ τι χρὴ ... τοῖς ἰατρικοῖς ὀργάνοις πρὸς τοὺς κάμνοντας χρῆσθαι.* Crat. 405. A: *αἱ τοῖς ἰατρικοῖς φαρμάκοις ... περιθειώσεις.* Tim. 79. E: *τὰ τῶν περὶ τὰς ἰατρικὰς σικύας παθημάτων.* Phaedr. 269. A: *ἀλλ' οὐ τὰ ἰατρικά (ἐπίστασθαι).* Crat. 416. D: *τὸ ... ἰατρικὸν ἰατρικὰ ἐργάζεται.* Hipp. min. 375. B: *οὐχὶ ἡ ἑκοῦσα κακὰ ἐργαζομένη περὶ τὰ σώματα ἰατρικωτέρα;* Conv. 186. D: *οὗτός ἐστιν ὁ ἰατρικώτατος.*

ἰατρός, ὁ, medicus; etiam *qui aliquid emendat* vel *aliqua re liberat.* Prot. 340. E: *καὶ εἰμί τις γελοῖος ἰατρός.* 357. E: *ἧς (ἀμαθίας) Πρωταγόρας ὅδε φησὶν ἰατρὸς εἶναι* cet. Phaedr. 268. B. Crat. 405. B: *ὡς ἰατρὸς ὢν τῶν τοιούτων.* Conv. 189. D: *ἰατρὸς τούτων ὢν* cet. 214. B: *ἰητρὸς ... ἀνήρ* (Hom.). Pol. I. 332. E. 341. C: *ὁ τῷ ἀκριβεῖ λόγῳ ἰατρός.* Legg. IV. 720. A. X. 903. C.: *πᾶς ... ἰατρὸς καὶ πᾶς ἔντεχνος δημιουργὸς* cet. Charm. 164. A. Ion. 531. E. Pol. III. 406. D: *παρὰ τοῦ ἰατροῦ φάρμακον πιών.* V. 459. C: *ὅτι ἀνδρειοτέρου δεῖ τοῦ ἰατροῦ.* Legg. VI. 761. D. Pol. III. 406. D: *χαίρειν εἰπὼν τῷ τοιούτῳ ἰατρῷ.* Legg. X. 902. D. Charm. 155. B: *ὅτι βούλομαι αὐτὸν ἰατρῷ συστῆσαι περὶ τῆς ἀσθενείας* cet. Phaedr. 252. A: *τὸν τὸ κάλλος ἔχοντα ἰατρὸν εὕρηκε μόνον τῶν μεγίστων πόνων.* Pol. I. 340. D. Legg. IX. 857. D. Pol. III. 408. D: *ἰατροὶ ... δεινότατοι ἂν γένοιντο εἰ* cet. VIII. 567. C. Legg. IV. 720. A. Gorg. 455. A: *ὅταν περὶ ἰατρῶν αἱρέσεως ᾖ τῇ πόλει σύλλογος.* Crat. 394. A: *τὰ τῶν ἰατρῶν φάρμακα.* Pol. II. 373. D: *οὐκοῦν καὶ ἰατρῶν ἐν χρείαις ἐσόμεθα —;* III. 405. A: *τὸ δεῖσθαι ἰατρῶν καὶ δικαστῶν ἄκρων.* VI. 489. C: *ἀναγκαῖον εἶναι ἐπὶ ἰατρῶν θύρας ἰέναι.* Tim. 88. A: *τῶν λεγομένων ἰατρῶν ἀπατῶσα τοὺς πλείστους.* Legg. IX. 865. B. al. Pol. III. 389. B: *ὅτι τό γε τοιοῦτον ἰατροῖς δοτέον, ἰδιώταις δὲ οὐχ ἁπτέον.* Legg. X. 905. E. 906. E. Theaet. 167. B: *τοὺς σοφοὺς ... κατὰ μὲν σώματα ἰατροὺς λέγω* cet. Legg. IV. 720. A. Charm. 156. E. al.

ἰδανικός, ή, όν, in specie exstans. Locr. 97. D: *τὸν ἰδανικὸν κόσμον.*

ἰδέ, et. Pol. V. 468. E. (Hom.).

ἰδέα, ἡ, species vel *forma sub oculos cadens* (vern. *Gestalt*). Phaedr. 246. A: *περὶ ... τῆς ἰδέας αὐτῆς (τῆς ψυχῆς) ὧδε λεκτέον.* Conv. 196. A: *συμμέτρου δὲ καὶ ὑγρᾶς ἰδέας μέγα τεκμήριον ἡ εὐσχημοσύνη.* Alc. I. 119. C: *ὡς ἀνάξιον τῆς ἰδέας* cet. Charm. 158. A: *τὰ ... ὁρώμενα τῆς ἰδέας ... δοκεῖς μοι οὐδένα τῶν προγόνων καταισχύνειν.* 157. A: *οὐ μόνον τῇ ἰδέᾳ ἐδόκει διαφέρειν.* Prot. 315. E: *τὴν ... ἰδέαν πάνυ καλός.* Phaedr. 251. A: *ἤ τινα σώματος ἰδέαν (θεο-*

ειδῆ). Phaed. 108. D: *τὴν ... ἰδέαν τῆς γῆς ... οὐδέν με κωλύει λέγειν.* Pol. IX. 588. C: *πλάττε ... μίαν ... ἰδέαν θηρίου ποικίλου* cet. D: *μίαν ... ἄλλην ἰδέαν λέοντος, μίαν δὲ ἀνθρώπου.* C: *καὶ ἄλλαι τινὲς συχναὶ λέγονται ξυμπεφυκυῖαι ἰδέαι πολλαὶ εἰς ἓν γενέσθαι.* II. 380. D: *φαντάζεσθαι ἄλλοτε ἐν ἄλλαις ἰδέαις.* Tim. 77. A. Phaed. 109. B: *πολλὰ κοῖλα καὶ παντοδαπὰ καὶ τὰς ἰδέας καὶ τὰ μεγέθη.* Polit. 291. B: *ταχὺ δὲ μεταλλάττουσι* (v. *μεταβάλλουσι*) *τάς τε ἰδέας καὶ τὴν δύναμιν εἰς ἀλλήλους.* i* *forma* in univ. vel *species*, i. q. Lat. *genus* vel *natura* (vern. *Wesen*, *Potenz* vel simile quid); saepius vero ita ponitur ut orationem amplificet (v. Timaei locc. infra poss.). Phaed. 104. D: *ἃ ἂν ἡ τῶν τριῶν ἰδέα κατάσχῃ, ἀνάγκη αὐτοῖς οὐ μόνον τρισὶν εἶναι, ἀλλὰ καὶ περιττοῖς.* Ib. *ἐπὶ τὸ τοιοῦτον ... ἡ ἐναντία ἰδέα ἐκείνῃ τῇ μορφῇ ... οὐδέποτ' ἂν ἔλθοι.* Theaet. 204. A: *μία ἰδέα ἐξ ἑκάστων τῶν συναρμοττόντων στοιχείων γιγνομένη ἡ συλλαβή.* 205. C. D: *εἴπερ μέρη τε μὴ ἔχει καὶ μία ἐστὶν ἰδέα.* Crat. 418. E: *ἀγαθοῦ ... ἰδέα οὖσα τὸ δέον φαίνεται δεσμὸς εἶναι* cet. Pol. VI. 507. E: *οὐ σμικρὰ ... ἰδέα ἡ τοῦ ὁρᾶν αἴσθησις* cet. Parm. 157. D: *μιᾶς τινὸς ἰδέας καὶ ἑνός τινος, ὃ καλοῦμεν ὅλον ... τούτου μόριον ἂν τὸ μόριον εἴη.* Crat. 439. E: *μηδὲν ἐξιστάμενον τῆς αὐτοῦ ἰδέας.* Pol. II. 380. D: *ἢ ἁπλοῦν τε εἶναι καὶ πάντων ἥκιστα τῆς ἑαυτοῦ ἰδέας ἐκβαίνειν.* Legg. VIII. 836. D: *ἢ ... τὸ τῆς σώφρονος ἰδέας γένος* (*ἐμφύσεται*); Pol. II. 369. A: *τὴν τοῦ μείζονος ὁμοιότητα ἐν τῇ τοῦ ἐλάττονος ἰδέᾳ ἐπισκοποῦντες.* Hipp. mai. 297. B: *κινδυνεύει ... ἐν πατρός τινος ἰδέᾳ* (alias *σχήματι*) *εἶναι τὸ καλὸν τοῦ ἀγαθοῦ.* Phaedr. 253. B: *εἰς τὸ ἐκείνου ἐπιτήδευμα καὶ ἰδέαν ἄγουσιν.* Phaed. 104. B: *οὐδὲ ταῦτα ἔοικε δεχομένοις ἐκείνην τὴν ἰδέαν ἣ ἂν τῇ ἐν αὐτοῖς οὔσῃ ἐναντία ᾖ.* Theaet. 184. D: *εἰ ... μὴ εἰς μίαν τινὰ ἰδέαν, εἴτε ψυχὴν εἴτε ὅ τι δεῖ καλεῖν, πάντα ταῦτα ξυντείνει, ἧ διὰ τούτων οἷον ὀργάνων αἰσθανόμεθα ὅσα αἰσθητά.* Polit. 308. C: *ἐκ τούτων ... μίαν τινὰ δύναμιν καὶ ἰδέαν δημιουργεῖ.* Conv. 204. C: *τὸ δὲ ἐρῶν ἄλλην ἰδέαν τοιαύτην ἔχον, οἵαν ἐγὼ διῆλθον.* Pol. VIII. 544. C: *ἤ τινα* (al. *ἢ τίνα*) *ἄλλην ἔχεις ἰδέαν πολιτείας, ἥτις καὶ ἐν εἴδει διαφανεῖ τινὶ κεῖται;* Tim. 49. C: *εἰς ἰδέαν ... ἀπιὸν αὖθις ἀέρος.* 58. D: (*διὰ*) *τὴν τοῦ σχήματος ἰδέαν.* 59. C: *τὴν τῶν εἰκότων μύθων μεταδιώκοντα ἰδέαν.* 70. C: *τὴν τοῦ πλεύμονος ἰδέαν ἐνεφύτευσαν.* 71. A: *αὐτῷ τὴν τοῦ ἥπατος ἰδέαν ξυνέστησε.* Phaedr. 237. D: *ὅτι ἡμῶν ἐν ἑκάστῳ δύο τινέ ἐστον ἰδέα ἄρχοντε καὶ ἄγοντε.* Pol. X. 596. B: *ἰδέαι ... περὶ ταῦτα τὰ σκεύη δύο, μία μὲν κλίνης, μία δὲ τραπέζης.* Phaedr. 238. A: *τούτων τῶν ἰδεῶν ἐκπρεπὴς ἣ ἂν τύχῃ γενομένη.* Tim. 50. D: *ἄμορφον ὂν ἐκείνων ἁπασῶν τῶν ἰδεῶν ὅσας μέλλοι* (v. *μέλλει*) *δέχεσθαί ποθεν.* Polit. 307. C: *οἷον πολεμίας διαλαχούσας στάσιν ἰδέας.*

*sensu philosopho est *forma* vel *species rerum quae ratione et intelligentia continetur*, h. e. *aeterna* et *immutabilis*, *exemplum* (vern. *Urbild, Idee, Wesen an sich.* Cf. *εἶδος* Vol. I. p. 607); et sensu qui dicitur logico est *notio communis* vel *generalis* (quae Platoni non est notio a rebus abstracta, sed ipsa rei natura animo spectata vel cogitata). Parm. 132. A: *μία τις ἴσως δοκεῖ ἰδέα ἡ αὐτὴ* (v. *αὕτη*) *εἶναι ἐπὶ πάντα ἰδόντι, ὅθεν ἓν τὸ μέγα ἡγεῖ εἶναι.* Pol. VI. 505. A: *ὅτι γε ἡ τοῦ ἀγαθοῦ ἰδέα μέγιστον μάθημα.* VII. 517. B: *ἐν τῷ γνωστῷ τελευταία ἡ τοῦ ἀγαθοῦ ἰδέα καὶ μόγις ὁρᾶσθαι.* C: *ὡς ... πᾶσι πάντων αὕτη ὀρθῶν τε καὶ καλῶν αἰτία.* Phil. 64. E: *εἰ μὴ μιᾷ δυνάμεθα ἰδέᾳ τὸ ἀγαθὸν θηρεῦσαι.* Euthyd. 6. D: *μιᾷ ἰδέᾳ τά τε ἀνόσια ἀνόσια εἶναι καὶ τὰ ὅσια ὅσια.* Phaedr. 265. D: *εἰς μίαν ... ἰδέαν συνορῶντα ἄγειν τὰ πολλαχῇ διεσπαρμένα.* Soph. 253. D: *μίαν ἰδέαν διὰ πολλῶν ... πάντῃ διατεταμένην ἱκανῶς διαισθάνεται.* Parm. 132. C: *οὐχ ἑνός τινος, ὃ ἐπὶ πᾶσιν ἐκεῖνο τὸ νόημα ἐπὸν νοεῖ, μίαν τινὰ οὖσαν ἰδέαν;* Phil. 16. D. 64. A. Pol. V. 479. A: *ὃς αὐτὸ μὲν καλὸν καὶ ἰδέαν τινὰ αὐτοῦ κάλλους μηδεμίαν ἡγεῖται ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχουσαν.* VI. 486. D: *ἐπὶ τὴν τοῦ ὄντος ἰδέαν.* 508. E: *τοῦτο τοίνυν τὸ τὴν ἀλήθειαν παρέχον τοῖς γιγνωσκομένοις καὶ τῷ γιγνώσκοντι τὴν δύναμιν ἀποδιδὸν τὴν τοῦ ἀγαθοῦ ἰδέαν φαθὶ εἶναι, αἰτίαν δ' ἐπιστήμης οὖσαν καὶ ἀληθείας* cet. VII. 526. E. 534. B. Tim. 46. C: *τὴν τοῦ ἀρίστου κατὰ τὸ δύνατον ἰδέαν ἀποτελῶν.* Parm. 133. C: *οὐκοῦν ὅσαι τῶν ἰδεῶν πρὸς ἀλλήλας εἰσὶν αἵ εἰσιν, αὐταὶ πρὸς αὑτὰς τὴν οὐσίαν ἔχουσιν, ἀλλ' οὐ πρὸς τὰ παρ' ἡμῖν εἴτε ὁμοιώματα εἴτε ὅπῃ δή τις αὐτὰ τίθεται;* Pol. VI. 507. B: *τὰς δ' ... ἰδέας νοεῖσθαι μέν, ὁρᾶσθαι δ' οὔ.* al.

ἰδεῖν, v. *εἶδον* Vol. I. p. 603.

ἰδίᾳ, *proprie*; *separatim* vel *specialiter*; *privatim*. Prot. 343. B: *καὶ τοῦ Πιττακοῦ ἰδίᾳ περιεφέρετο τοῦτο τὸ ῥῆμα* cet. Gorg. 514. C: *πολλὰ καὶ ἰδίᾳ ὑφ' ἡμῶν.* Theaet. 177. B: *ἂν ἰδίᾳ λόγον δέῃ δοῦναι* cet. Soph. 218. B: *καὶ ταῦτα μὲν ἰδίᾳ βουλεύσει* cet. Crat. 385. D: *οὕτω ... καὶ ταῖς πόλεσιν ὁρῶ ἰδίᾳ ἑκάσταις ἐνίοτ' ἐπὶ τοῖς αὐτοῖς κείμενα ὀνόματα.* E: *ἰδίᾳ αὐτῶν ἡ οὐσία εἶναι ἑκάστῳ.* 413. A. Pol. I. 344. A: *ὅσῳ μᾶλλον ξυμφέρει ἰδίᾳ αὐτῷ ἄδικον εἶναι ἢ δίκαιον.* II. 360. C: *ὡς οὐκ ἀγαθοῦ ἰδίᾳ ὄντος.* IV. 420. A: *ἂν ἀποδημῆσαι βούλωνται ἰδίᾳ.* VI. 507. D: *ἰδίᾳ ἐπ' αὐτὸ τοῦτο πεφυκός (γένος).* VIII. 556. D: *ὅταν ἰδίᾳ ξυγγίγνωνται.* IX. 575. E: *οὐκοῦν ... οὗτοί γε τοιοίδε γίγνονται ἰδίᾳ καὶ πρὶν ἄρχειν;* X. 605. B. Legg. II. 666. E: *ἱπποκόμον ... ἐπέστησεν ἰδίᾳ.* V. 729. A: *στάσεις ἀπεργάζεται ταῖς πόλεσι καὶ ἰδίᾳ.* VII. 788. A: *ἰδίᾳ ... καὶ κατ' οἰκίας.* 800. B. VIII. 836. B: *ἰδίᾳ καὶ ὅλαις πόλεσι.* XII. 955. E: *ἰδίᾳ τε καὶ ἐν ἱεροῖς.* Apol. 31. B: *ἰδίᾳ ἑκάστῳ προσιόντα.* 36. C. Alc. I. 122. E: *ὅσον ἐν Λακεδαίμονι ἰδίᾳ.* 134. C:

ὃς μέλλει μὴ ἰδίᾳ μόνον αὑτοῦ ... ἄρξειν ... ἀλλὰ πόλεως καὶ τῶν τῆς πόλεως. Menex. 249. B: ἅπερ ἰδίᾳ ἑκάστῳ ἴδια γίγνεται. — Poetis oppos. designat orationis auctores pedestris vel prosae. Pol. II. 363. E: ἄλλο ... εἶδος λόγων ... ἰδίᾳ τε λεγόμενον καὶ ὑπὸ ποιητῶν. — Praecipue inter se opponuntur atque etiam iunguntur ἰδίᾳ et δημοσίᾳ. Prot. 324. C: ὅσοιπερ τιμωροῦνται καὶ ἰδίᾳ καὶ δημοσίᾳ. 325. B: καὶ ἰδίᾳ καὶ δημοσίᾳ. Phaedr. 244. B: ἰδίᾳ τε καὶ δημοσίᾳ. 277. D: ἰδίᾳ ἢ δημοσίᾳ. Theaet. 174. B. Soph. 222. D. Pol. II. 362. B. al. Similiter ἰδίᾳ et κοινῇ. Polit. 275. C: οὐ μὴν ἰδίᾳ γε, ἀλλὰ κοινῇ τὴν ἐπιμέλειαν ἔχουσαν. Pol. I. 333. D: καὶ κοινῇ καὶ ἰδίᾳ. Legg. XII. 946. D: τὰ μὲν ἰδίᾳ ἕκαστος, τὰ δὲ καὶ κοινῇ μετ' ἀλλήλων κρίναντες. Hipp. mai. 300. A: ὃ καὶ ἀμφοτέραις αὐταῖς ἔπεστι κοινῇ καὶ ἑκατέρᾳ ἰδίᾳ. Menex. 236. D. al.

ἰδιογενής, ὁ ἡ, *ex proprio genere natus*. Polit. 265. E: πότερα κοινογενοῦς φύσεως, ἢ τινος ἰδιογενοῦς;

ἰδιογονία, ἡ, *propria generatio*. Polit. 265. D: τῇ κοινογονίᾳ τε καὶ ἰδιογονίᾳ.

ἰδιοθηρευτικός, ή, όν, *ad privatam venationem pertinens; ἡ ἰδ. privata venatio*. Soph. 222. D: οὐκοῦν ... τῆς ἰδιοθηρευτικῆς τὸ μὲν μισθαρνευτικόν τί ἐστι, τὸ δὲ δωροφορικόν;

ἰδιοθηρία, ἡ, *venatio privata*. Soph. 223. B: ἰδιοθηρίας.

ἰδιολογοῦμαι, *privatim cum aliquo loquor*. Theag. 121. A: ἐδεόμην ἄττα σοι ἰδιολογήσασθαι.

ἰδιοπραγία, ἡ, *rerum privatarum procuratio*. Legg. IX. 875. B: ἀλλ' ἐπὶ πλεονεξίαν καὶ ἰδιοπραγίαν ἡ θνητὴ φύσις αὐτὸν ὁρμήσει ἀεί.

ἴδιος, α, ον et ὁ ἡ, *proprius; peculiaris* (sq. ἢ verti potest *diversus*); *privatus*; etiam in oratione ponitur prosa. Pol. VII. 535. B: ἴδιος, ἀλλ' οὐ κοινὸς ὢν μετὰ τοῦ σώματος (ὁ πόνος). Prot. 349. B: ἢ ἑκάστῳ τῶν ὀνομάτων τούτων ὑπόκειταί τις ἴδιος οὐσία —; Pol. IX. 580. D: ἑνὸς ἑκάστου μία ἰδία (ἡδονή). Theaet. 154. A: μεταξύ τι ἑκάστῳ ἴδιον γεγονός. Pol. V. 455. B: ὅτι οὐδέν ἐστιν ἐπιτήδευμα ἴδιον γυναικὶ πρὸς διοίκησιν πόλεως. Legg. V. 739. C: τὸ λεγόμενον ἴδιον. Clit. 409. D: ὅτι τοῦτ' εἴη τὸ τῆς δικαιοσύνης ἴδιον ἔργον ὃ τῶν ἄλλων οὐδεμιᾶς. Ep. XIII. 361. E: ἐὰν δέ τι ἄλλο γίγνηται ἴδιον ἢ δημόσιον ἀνάλωμα cet. Phaed. 101. C: μετασχὸν τῆς ἰδίας οὐσίας ἑκάστου, οὗ ἂν μετάσχῃ. Polit. 300. A: ἢ (ἕνεκα) χάριτος ἰδίας. Pol. X. 610. A: ἄνευ τῆς ἰδίας πονηρίας. Legg. VII. 790. B. Gorg. 502. E: ἕνεκα τοῦ ἰδίου τοῦ αὑτῶν ὀλιγωροῦντες τοῦ κοινοῦ. Pol. IX. 580. E: ἑνὶ οὐκ ἔχομεν ὀνόματι προσειπεῖν ἰδίῳ αὐτοῦ. Phil. 33. D: καί τινα ὥσπερ σεισμὸν ἐντιθέντα ἴδιόν τε καὶ κοινὸν ἑκατέρῳ. Tim. 83. C: ἔσχε λόγον αὐτῶν ἕκαστον ἴδιον. Gorg. 484. D: ἐπειδὰν ... ἔλθωσιν

εἴς τινα ἰδίαν ἢ πολιτικὴν πρᾶξιν. Soph. 257. C: ἐπωνυμίαν ἴσχει τινὰ ἑαυτῆς ἰδίαν. Polit. 272. C: εἴ τινά τις ἰδίαν δύναμιν ἔχουσα ᾔσθετό τι διάφορον τῶν ἄλλων. 305. B: τὴν αὑτῆς ἰδίαν ἀρετὴν παρεχομένη. Crat. 387. D: αὐτῶν τινὰ ἰδίαν φύσιν ἐχούσαι. Pol. I. 346. A. C. al. Gorg. 481. C: ἀλλά (εἰ) τις ἡμῶν ἴδιόν τι ἔπασχε πάθος ἢ οἱ ἄλλοι. Pol. VIII. 543. B: ἴδιον οὐδὲν οὐδενὶ ἐχούσας, κοινὰς δὲ πᾶσι (οἰκήσεις). 547. D: τὸ δέ τι καὶ αὑτῆς ἕξει ἴδιον. Lys. 205. B: ἴδιον ... μηδὲν ἔχειν λέγειν, ὃ οὐχὶ κἂν παῖς εἴποι. Critia 120. C: νόμοι ... πολλοὶ μὲν ἄλλοι ... ἦσαν ἴδιοι cet. Legg. VI. 768. B: τῶν ἰδίων δικῶν κοινωνεῖν. XII. 961. B: τῶν ἄλλων πράξεων ἰδίων τε καὶ κοινῶν. Pol. VI. 497. A: μετὰ τῶν ἰδίων τὰ κοινὰ σώσει. VII. 521. A: εἰ ... πτωχοὶ καὶ πεινῶντες ἀγαθῶν ἰδίων ἐπὶ τὰ δημόσια ἴασιν. Legg. VIII. 831. C: πλὴν τῶν ἰδίων χρημάτων. Menex. 247. B: ἀπορίᾳ ἰδίων ἑαυτοῦ κτημάτων τε καὶ εὐδοξιῶν. Phaedr. 261. A: ἐν ἰδίοις (συλλόγοις). Soph. 225. B: ἐν ἰδίοις (*inter privatos*). Pol. II. 366. E: οὔτ' ἐν ποιήσει οὔτ' ἐν ἰδίοις λόγοις. Legg. X. 890. B: πόλεσί τε καὶ ἰδίοις οἴκοις. Euthyd. 289. D: οἳ τοῖς ἰδίοις λόγοις οἷς αὐτοὶ ποιοῦσιν οὐκ ἐπίστανται χρῆσθαι. Soph. 232. C: ἔν γε ταῖς ἰδίαις συνουσίαις. Id. Pol. VI. 499. A. Legg. X. 909. D: ἐν ἰδίαις οἰκίαις. Tim. 65. B: τὰ δ' ἐν ἰδίοις μέρεσιν ἡμῶν γιγνόμενα. Legg. I. 636. D: ἔν τε πόλεσι καὶ ἐν ἰδίοις ἤθεσι. VI. 758. B: ἐπὶ τοῖς αὐτῶν ἰδίοισι μένοντας. VII. 796. D: εἴς τε πολιτείαν καὶ ἰδίους οἴκους. Polit. 310. B: περὶ τὰς ἰδίας ἐκδόσεις καὶ γάμους. Pol. IV. 419: θυσίας θεοῖς ἰδίας θύοντες. V. 464. D: ἀλγηδόνας ... ἰδίων ὄντων ἰδίας. VIII. 548. B: ἀτεχνῶς νεοττιὰς ἰδίας. Gorg. 469. E: τὰ δημόσια καὶ τὰ ἴδια. Pol. I. 353. D: καὶ φαῖμεν ἴδια ἐκείνου εἶναι. IV. 443. E: περὶ τὰ ἴδια ξυμβόλαια. VIII. 548. A: αὐτὴ ἑαυτῆς αὖ τὰ πολλὰ τῶν τοιούτων ἴδια ἕξει. Tim. 65. C: ἴδι' ὄντα παθήματα περὶ τὴν γλῶτταν. Legg. III. 681. A: ἔχουσαν ... αὑτῆς ἔθη ἄττα ἴδια. Hipp. mai. 281. D: τά τε κοινὰ καὶ τὰ ἴδια. Lach. 180. B.

ἰδιότης, ἡ, *proprietas*. Polit. 305. D: κατὰ τὴν ἰδιότητα τῶν πράξεων τοὔνομα δικαίως εἴληφεν ἴδιον.

ἰδιοτρόφος, ὁ ἡ, *singulos pascens*. Polit. 261. D: ἀλλ' οὐ μὴν τόν γε πολιτικὸν εὑρήσομεν ἰδιοτρόφον (v. ἰδιότροπον).

ἰδιοῦμαι, *ad me vindico*. Legg. V. 742. B: ἰδιούμενος δ' ἄν τις φαίνηται. Pol. VIII. 547. B: γῆν ... καὶ οἰκίας κατανειμαμένους ἰδιώσασθαι.

ἰδίως, *peculiariter*. Legg. VII. 807. B: (μέχριπερ ἂν) ἰδίως ἅπαντ' ᾖ τὰ τοιαῦτα ἑκάστοις ἡμῶν κατεσκευασμένα.

ἰδίωσις, ἡ, *separatio* vel *disiunctio in aliqua re*. Pol. V. 462. B: ἡ ... τῶν τοιούτων ἰδίωσις διαλύει (antec. ἡ ... ἡδονῆς τε καὶ λύπης κοινωνία).

ἰδιωτεία, ἡ, vita privata. Legg. III. 696. A: *ἰδιωτείᾳ καὶ βασιλείᾳ.* Pol. X. 618. D: *ἰδιωτεῖαι καὶ ἀρχαί.*

ἰδιωτεύω, vitam privatam dego. Pol. IX. 579. C: *ὃς ἂν ... μὴ ὡς ἰδιώτης καταβιῷ.* Apol. 32. A: *ἰδιωτεύειν, ἀλλὰ μὴ δημοσιεύειν.* * *privatim artem aliquam factito* al. Polit. 259. A: *εἴ τῳ τις τῶν δημοσιευόντων ἰατρῶν ἱκανὸς ξυμβουλεύειν ἰδιωτεύων αὐτός.* Gorg. 515. B: *εἴπερ ἔστι τοιόνδε τι ἔργον σὸν ἔτι ἰδιωτεύοντος.* 514. E: *πρὶν ἰδιωτεύοντας πολλὰ ... ποιῆσαι.* * *imperitus s. ignarus sum alicuius rei* (ita ut publice eam exercere nequeam). Prot. 326. E: *ὅτι τούτου τοῦ πράγματος, τῆς ἀρετῆς, εἰ μέλλει πόλις εἶναι, οὐδένα δεῖ ἰδιωτεύειν.*

ἰδιώτης, ὁ, privatus. Gorg. 525. E: *εἴ τις ἄλλος πονηρὸς ἦν ἰδιώτης.* Polit. 259. B: *ἄν τε ἄρχων ἄν τ' ἰδιώτης ὢν τυγχάνῃ.* Crat. 385. A: *καὶ ἐὰν ἰδιώτης καλῇ καὶ ἐὰν πόλις.* Pol. VII. 536. A. Legg. I. 636. E. al. Gorg. 526. C: *ἀνδρὸς ἰδιώτου ἢ ἄλλου τινός.* Theaet. 172. A: *ἐν τούτοις ... οὐδὲν σοφώτερον οὔτε ἰδιώτην ἰδιώτου οὔτε πόλιν πόλεως εἶναι.* Pol. X. 620. C: *βίον ἀνδρὸς ἰδιώτου ἀπράγμονος.* Legg. I. 628. D. Theaet. 168. B: *ἰδιώτῃ τε καὶ πόλει.* Pol. III. 380. C. Legg. V. 742. A. al. Conv. 178. D: *οὔτε πόλιν οὔτε ἰδιώτην.* Pol. IX. 578. C: *ὃς ἂν ... μὴ ἰδιώτην βίον καταβιῷ.* Apol. 40. D: *μὴ ὅτι ἰδιώτην τινά, ἀλλὰ τὸν μέγαν βασιλέα* cet. Pol. X. 615. D: *ἦσαν ... καὶ ἰδιῶταί τινες τῶν μεγάλα ἡμαρτηκότων.* Legg. IX. 864. A: *πόλις εἴτε ἰδιῶταί τινες.* Alc. I. 121. A. Pol. III. 390. A: *ὅσα ἄλλα τις ... εἴρηκε νεανιεύματα ἰδιωτῶν εἰς ἄρχοντας.* IV. 435. E. VIII. 544. E. Critia 116. E: *ἰδιωτῶν ἀναθήματα.* Legg. VIII. 848. E: *χρείᾳ τινὶ πόλεως ἢ τινος ἰδιωτῶν.* Crit. 50. B. al. Conv. 185. B: *πολλοῦ ἄξιος καὶ πόλει καὶ ἰδιώταις.* Pol. VIII. 545. B: *ἐν ταῖς πολιτείαις πρότερον σκοπεῖν τὰ ἤθη ἢ ἐν τοῖς ἰδιώταις.* Legg. I. 641. B. Pol. II. 364. E: *πείθοντες οὐ μόνον ἰδιώτας, ἀλλὰ καὶ πόλεις.* VI. 495. B. Legg. X. 909. B. — Poesi oppos., quippe arti quodammodo communi vel publicae, designat prosae orationis scriptorem. Phaedr. 258. D: *ἐν μέτρῳ ὡς ποιητής, ἢ ἄνευ μέτρου ὡς ἰδιώτης.* Conv. 178. B: *οὔτε λέγονται ὑπ' οὐδενὸς οὔτε ἰδιώτου οὔτε ποιητοῦ.* Legg. X. 890. A: *ἀνδρῶν σοφῶν ... ἰδιωτῶν τε καὶ ποιητῶν.* — Voci *δημιουργός* oppos. est *qui artis alicuius imperitus est*, et in univ. *imperitus, rudis.* Phaedr. 236. D: *παρ' ἀγαθὸν ποιητὴν ἰδιώτης αὐτοσχεδιάζων περὶ τῶν αὐτῶν.* Theaet. 178. C. Legg. XI. 933. D: *ἐὰν μὲν ἰατρὸς ὢν τυγχάνῃ ... ἐὰν δὲ ἰδιώτης* cet. 916. B: *ἐὰν δέ τις ἰδιώτῃ τι τῶν τοιούτων ἀποδῶται δημιουργός* cet. Soph. 221. C: *πότερον ἰδιώτην, ἤ τινα τέχνην ἔχοντα θετέον εἶναι τὸν ἀσπαλιευτήν.* Tim. 20. A: *Κριτίαν ... ἴσμεν οὐδενὸς ἰδιώτην ὄντα ὧν λέγομεν.* Prot. 345. A: *ἡμεῖς ... οἱ ἰατρικῆς ἰδιῶται.* Polit. 298. D: *εἴτε τινῶν ἰατρῶν καὶ κυ-*

βερνητῶν εἴτ' ἄλλων ἰδιωτῶν ξυμβουλευόντων. Legg. XI. 921. B. Theag. 124. C: τῶν τε δημιουργῶν καὶ ἰδιωτῶν cet. Prot. 322. C: εἷς ἔχων ἰατρικὴν πολλοῖς ἱκανὸς ἰδιώταις. Pol. III. 389. B: δῆλον ὅτι τό γε τοιοῦτον ἰατροῖς δοτέον, ἰδιώταις δὲ οὐχ ἁπτέον. Prot. 327. C: ὡς πρὸς τοὺς ἰδιώτας καὶ μηδὲν αὐλήσεως ἐπαΐοντας.

ἰδιωτικός, ή, όν, privatus. Pol. I. 345. E: ἔν τε πολιτικῇ καὶ ἰδιωτικῇ ἀρχῇ. VI. 492. C: ἢ ποίαν ἂν αὐτῷ παιδείαν ἰδιωτικὴν ἀνθέξειν ἣν οὐ cet. Phaedr. 258. D: εἴτε πολιτικὸν σύγγραμμα εἴτε ἰδιωτικόν. Soph. 225. E: ἀπὸ τῶν ἰδιωτικῶν ἐρίδων χρηματιζόμενον. Legg. XII. 948. E: ἐν ἄλλαις συνουσίαις τε καὶ ἰδιωτικαῖς συγγενήσεσιν ἑκάστων. Pol. VI. 492. A: διαφθείροντας δέ τινας σοφιστὰς ἰδιωτικοὺς (εἶναι). D: ἰδιωτικοὺς λόγους. Critia 117. B: χωρὶς μὲν βασιλικάς, χωρὶς δὲ ἰδιωτικάς. **ab arte alienus*, in univ. *imperitus, rudis.* Hipp. mai. 287. A: φαῦλον γὰρ ἂν εἴη τὸ ἐμὸν πρᾶγμα καὶ ἰδιωτικόν. Ion. 532. B. Euthyd. 282. D: ἰδιωτικὸν ἴσως καὶ μόλις διὰ μακρῶν λεγόμενον (τὸ ἐμὸν παράδειγμα).

ἰδιωτικῶς, imperite (cum v. *ἔχειν, imperitum esse*); *vulgari modo, leviter.* Crat. 394. A: ὥστε δόξαι ἂν τῷ ἰδιωτικῶς ἔχοντι ἕτερα εἶναι ἀλλήλων τὰ αὐτὰ ὄντα. Alc. I. 119. B. Pol. VII. 525. C: ἀνθάπτεσθαι αὐτῆς (τῆς λογιστικῆς) μὴ ἰδιωτικῶς cet. Legg. VIII. 839. E: εὖ τὸ σῶμα ἔχων καὶ μὴ ἰδιωτικῶς ἢ φαύλως. XII. 966. E. Euthyd. 278. D: ἐὰν ... δόξω ὑμῖν ἰδιωτικῶς τε καὶ γελοίως αὐτὸ ποιεῖν, μή μου καταγελᾶτε.

ἰδνωθείς, incurvatus. Ion. 539. C. (Hom.).

ἰδού, ecce. Pol. IV. 440. A: ἰδοὺ ὑμῖν ... ἐμπλήσθητε τοῦ καλοῦ θεάματος.

ἵδρυμα, τό, templum, sacellum; etiam *statua* vel *imago diis posita.* Legg. XI. 931. A: τοιοῦτον ἐφέστιον ἵδρυμα ἐν οἰκίᾳ ἔχων. IV. 717. B: ἐπακολουθεῖ δ' αὐτοῖς ἱδρύματα ἴδια πατρῴων θεῶν. VI. 778. D. VIII. 848. D.

ἵδρυσις, ἡ, exstructio (praec. *templorum*). Pol. IV. 427. B: ἱερῶν ... ἱδρύσεις. Legg. X. 909. E: ἱδρύσεις ὑπισχνεῖσθαι θεοῖς καὶ δαίμοσι cet.

ἱδρύω, colloco, statuo, constituo. Tim. 66. C: (ὁπόταν) πάνθ' ὅτι μάλιστα ἱδρύῃ κατὰ φύσιν. Pass. *collocor,* perf. *collocatus* vel *situs sum, sedem habeo, sedeo.* Locr. 102. D: ἱδρύεται. Pol. IV. 429. A: ὅπου τῆς πόλεως ἵδρυται. Ep. III. 315. C: πόῤῥω γὰρ ἡδονῆς ἵδρυται καὶ λύπης τὸ θεῖον. Locr. 99. E: ἑκάτερον ... περὶ τὰν κεφαλὰν ἵδρυται. Theaet. 176. A: οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρύσθαι. Tim. 77. B: ὃ μεταξὺ φρενῶν ὀμφαλοῦ τε ἱδρύσθαι λόγος. Legg. V. 738. B: ἅττα ... ἐν τῇ πόλει ἑκάστοις ἱδρύσθαι δεῖ. 745. B: τὴν πόλιν ἱδρύσθαι δεῖ τῆς χώρας ... ἐν μέσῳ. Euth. 11. D. Legg. VI. 775. E: ἀρχὴ ... καὶ θεὸς ἐν ἀνθρώποις ἱδρυμένη σώζει

πάντα. VII. 801. B: *ὡς οὔτε ἀργυροῦν δεῖ πλοῦτον οὔτε χρυσοῦν ἐν πόλει ἱδρυμένον ἐνοικεῖν.* Epin. 984. A: *οὐδ' ἐν διαφέρουσι τόποις ἱδρυμένα.* Pol. II. 371. D: *ἱδρυμένους ἐν ἀγορᾷ.* Ax. 365. E: *τῆς ψυχῆς εἰς τὸν ἐκεῖνον ἱδρυθείσης τόπον.* — Med. *colloco, statuo; exstruo, aedifico.* Prot. 322. A: *ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα θεῶν.* Legg. X. 909. E: *ἱερὰ καὶ θεοὺς οὐ ῥᾴδιον ἱδρύεσθαι.* 910: *ἱερά τε καὶ βωμοὺς ἐν ἰδίαις οἰκίαις ἱδρυόμενοι.* Ib. *πάσας ... κώμας ἐν ... καθαροῖς ἱδρυομένους ἐμπιπλάναι.* Conv. 195. E: *ἐν ... ἤθεσι καὶ ψυχαῖς θεῶν καὶ ἀνθρώπων τὴν οἴκησιν ἵδρυται.* Tim. 38. D: *τὰ δ' ἄλλα οἷ δὴ καὶ δι' ἃς αἰτίας ἱδρύσατο.* Euth. 11. B: *ὅπου ἂν ἱδρυσώμεθα αὐτό.* Legg. VIII. 848. D: *ἱερὰ πανταχοῦ ἱδρύσασθαι.* X. 910: *εἴτε ἐν ἰδίοις ἱδρυσάμενος εἴτ' ἐν δημοσίοις.* XI. 919. A: *εἰς ἐρήμους ... τόπους ... ἱδρυσάμενος οἰκήσεις.* 931. A: *ἀγάλματα ἱδρυσάμενοι.*

ἱδρώς, ὁ, sudor. Phaedr. 248. B: *ἱδρὼς ἔσχατος γίγνεται.* 251. A: *ἱδρὼς καὶ θερμότης ἀήθης λαμβάνει.* Tim. 83. D: *ἱδρὼς καὶ δάκρυον.* Pol. I. 350. D: *μετὰ ἱδρῶτος θαυμαστοῦ ὅσου.* Tim. 84. E. Phaedr. 254. B: *ἱδρῶτι πᾶσαν ἔβρεξε τὴν ψυχήν.* Prot. 340. D: *ἱδρῶτα.* Id. Pol. II. 364. D. et Legg. IV. 718. E. (Hes.). Phaedr. 239. C: *ἱδρώτων ξηρῶν ἄπειρον.*

ἱέραξ, ὁ, accipiter. Phaed. 82. A: *εἰς τὰ τῶν ... ἱεράκων καὶ ἰκτίνων γένη.*

ἱερατικός, ή, όν, sacerdotalis; fem. *sacerdotium.* Polit. 290. D: *ὥστε περὶ ... Αἴγυπτον οὐδ' ἔξεστι βασιλέα χωρὶς ἱερατικῆς ἄρχειν.*

ἱέρεια, v. *ἱερεύς.*

ἱερεῖον, τό, victima. Polit. 287. C: *κατὰ μέλη ... αὐτὰς οἷον ἱερεῖον διαιρώμεθα.* Pol. VIII. 565. D: *ἐν ἄλλοις ἄλλων ἱερείων (σπλάγχνοις) ἑνὸς ἐγκατατετμημένου.* Lys. 206. E: *τὰ περὶ τὰ ἱερεῖα ... ἤδη πεποιημένα.* De lege 315. C: *ἱερεῖα ... προσφάττοντες.*

ἱερεύς, ὁ, fem. *ἱέρεια, ἡ, sacerdos.* Phaed. 58. C: *ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος.* Pol. III. 393. D. Tim. 26. D. Ax. 367. C: *οἱ ... τῆς Ἀργείας ἱερείας υἱεῖς.* Pol. III. 393. B: *τὸν ἱερέα.* Tim. 23. D. Pol. II. 381. D: *Ἥραν ... ὡς ἱέρειαν.* V. 461. A: *καὶ ἱέρειαι καὶ ἱερεῖς.* Legg. VII. 800. B. VIII. 828. B. Phaedr. 244. B: *αἵ τ' ἐν Δωδώνῃ ἱέρειαι.* Polit. 290. D: *τὸ ... τῶν ἱερέων σχῆμα.* Crat. 396. E. Conv. 202. E: *ἡ τῶν ἱερέων τέχνη τῶν τε περὶ τὰς θυσίας καὶ τὰς τελετὰς* cet. Tim. 22. A. Critia 108. D. Legg. V. 741. C: *ἱερέων τε καὶ ἱερειῶν εὐχὰς ποιησομένων ἐπὶ τοῖς πρώτοις θύμασι* cet. VI. 759. D. al. X. 909. D: *τοῖς ἱερεῦσί τε καὶ ἱερείαις ἐγχειριζέτω τὰ θύματα.* Polit. 291. D: *ἱερέας καὶ ὑπηρέτας αὐτῶν.* Critia 110. B. Legg. VI. 759. A: *ἱερέας καὶ ἱερείας.* B. VII. 799. B. XII. 947. D.

ἱερόν, v. *ἱερός*.

ἱεροποιός, ὁ, *sacrificulus*, praec. *qui hostias inspicit*. Lys. 207. D: *ἐδόκει γάρ μοι ἱεροποιῶν τυγχάνειν*.

ἱεροπρεπής, ὁ, ἡ, *augustus*. Theag. 122. D: *καλόν γε ... τῷ υἱεῖ τὸ ὄνομα ἔθου καὶ ἱεροπρεπές*.

ἱερός, *ά*, *όν*, *sacer*, *sanctus*, *consecratus*; *ἱερόν*, *templum* vel *sacellum*; plur. *res sacrae*, *mysteria*; *templa*; *sacrificia*; etiam *hostiae*. Phaed. 85. B: *ἱερὸς τοῦ αὐτοῦ θεοῦ*. Critia 115. B: *ἡ τότε ποτὲ οὖσα ὑφ' ἡλίῳ νῆσος ἱερά*. Legg. XII. 955. E: *γῆ ... ἑστία τε οἰκήσεως ἱερὰ πᾶσι πάντων θεῶν*. Phaedr. 230. B: *Νυμφῶν τέ τινων καὶ Ἀχελώου ἱερὸν ... ἔοικεν εἶναι*. 274. C: *οἱ καὶ τὸ ὄρνεον τὸ ἱερὸν* (*ἱερὸν?*) *ὃ* cet. Critia 116. C. Legg. VI. 774. A: *τοῦτο δ' ἔστω τῆς Ἥρας ἱερόν*. XI. 920. D: *Ἡφαίστου καὶ Ἀθηνᾶς ἱερὸν τὸ τῶν δημιουργῶν γένος*. Theag. 122. B: *ἱερὸν χρῆμα*. Tim. 85. B: *νόσημα ... ἱερᾶς ὂν φύσεως ἐνδικώτατα ἱερὸν λέγεται*. Legg. V. 741. C: *ὡς ... τῆς γῆς ἱερᾶς οὔσης τῶν πάντων θεῶν*. 739. A: *καθάπερ πεττῶν* (*φορὰ*) *ἀφ' ἱεροῦ* (v. Animadvv. p. 259 sq.). XI. 916. A: *τῇ καλουμένῃ ἱερᾷ νόσῳ*. Phaedr. 275. B: *ἐν τῷ τοῦ Διὸς ... ἱερῷ*. Critia 119. C. Pol. III. 398. A: *προσκυνοῖμεν ἂν αὐτὸν ὡς ἱερὸν καὶ θαυμαστὸν* cet. Tim. 38. D: *τὸν ἱερὸν Ἑρμοῦ λεγόμενον*. Legg. I. 645. A: *ἀγωγὴν χρυσῆν καὶ ἱεράν*. Prot. 328. B: *ἐλθὼν εἰς ἱερόν* cet. Pol. V. 470. A: *πρὸς ἱερὸν ... ἀπὸ τῶν οἰκείων* (*a cognatis*) *φέρειν*. VIII. 565. C: *περὶ τὸ ... τοῦ Διὸς ... ἱερόν*. Critia 120. B. Legg. I. 625. B. VI. 771. B: *ὡς οὖσαν ἱερὸν θεοῦ δῶρον*. IX. 881. E. Lach. 183. B: *τὴν ... Λακεδαίμονα ... εἶναι ἄβατον ἱερόν*. Pol. V. 458. E: *εἶεν δ' ἂν ἱεροὶ* (*γάμοι*) *οἱ ὠφελιμώτατοι*. Conv. 190. C: *αἱ τιμαὶ γὰρ αὐτοῖς καὶ τὰ ἱερὰ τὰ παρὰ τῶν ἀνθρώπων ἠφανίζετο*. 209. E: *ὧν καὶ ἱερὰ πολλὰ ἤδη γέγονε διὰ τοὺς τοιούτους παῖδας*. Pol. VIII. 568. D: *ὅταν ... ἱερὰ χρήματα ᾖ ἐν τῇ πόλει*. Legg. VIII. 829. E: *ὅσα ... ἱερὰ κριθέντα ποιήματα ἐδόθη τοῖς θεοῖς*. 841. D: *πλὴν ταῖς μετὰ θεῶν καὶ ἱερῶν γάμων ἐλθούσαις εἰς τὴν οἰκίαν*. Phaedr. 250. A: *ὥστε ... λήθην ὧν τότε εἶδον ἱερῶν ἔχειν*. Gorg. 514. A: *ἢ νεωρίων ἢ ἱερῶν ἐπὶ τὰ μέγιστα οἰκοδομήματα*. Pol. I. 331. D: *δεῖ γάρ με ἤδη τῶν ἱερῶν ἐπιμεληθῆναι*. III. 394. A: *ἐν ἱερῶν θυσίαις*. IV. 427. B: *ἱερῶν ... ἱδρύσεις*. V. 470. E: *οὐδὲ κοινωνήσουσιν ὧνπερ οἱ ἄλλοι ἱερῶν*. Tim. 27. B: *ἡ τῶν ἱερῶν γραμμάτων φήμη*. Legg. VI. 769. E: *ταμίας ... τῶν τε ἱερῶν χρημάτων* cet. VII. 800. B: *ἱερῶν καυθέντων κατὰ νόμον*. IX. 878. A: *θεραπευτὴν ὁσίων τε καὶ ἱερῶν ... γίγνεσθαι*. 881. D: *πάντων ἱερῶν εἰργέσθω*. Euth. 5. D: *περὶ ἱερῶν κλοπάς*. Euthyd. 277. E: *νῦν οὖν νόμισον τὰ πρῶτα τῶν ἱερῶν ἀκούειν τῶν σοφιστικῶν*. Legg. VII. 824: *ἐν λιμέσι καὶ ἱεροῖς ποταμοῖς* cet. Ep. VII. 335. A: *τοῖς παλαιοῖς τε καὶ ἱεροῖς λόγοις*. Legg. XI. 936. A:

ζημιοῦσθαι μναῖς τρισὶν ἱεραῖς τοῦ θεοῦ οὗ ἂν ὁ ἀγὼν ᾖ. XII. 950. E: *ἐν ἱεραῖς τε καὶ εἰρηνικαῖς συνουσίαις.* Tim. 23. A: *πάντα γεγραμμένα ἐκ παλαιοῦ τῇδ' ἐστὶν ἐν τοῖς ἱεροῖς καὶ σεσωσμένα.* E. Legg. VII. 824: *ἐν ἱεροῖς ἁγίοις.* XII. 955. A: *νικήσαντα γράφειν ἐν ἱεροῖς οἷς ἂν ἐθέλῃ.* Pol. V. 458. E: *δῆλον ... ὅτι γάμους ... ποιήσομεν ἱεροὺς εἰς δύναμιν ὅτι μάλιστα.* Legg. VI. 759. D: *καθ' ἱεροὺς νόμους ... ἁγιστεύσειν.* VII. 824: *τούτους ... τοὺς ἱεροὺς ὄντως θηρευτάς.* Pol. III. 391. B: *τὰς τοῦ ἑτέρου ποταμοῦ Σπερχειοῦ ἱερὰς τρίχας.* Legg. III. 844. E: *ἱερὰς ... ὀφειλέτω τῷ Διονύσῳ δραχμάς.* Phaed. 111. B: *καὶ θεῶν ἕδη τε καὶ ἱερὰ αὐτοῖς εἶναι.* Conv. 189. C: *μέγιστ' ἂν αὐτοῦ (τοῦ Ἔρωτος) ἱερὰ κατασκευάσαι καὶ βωμούς.* Pol. I. 344. E: *καὶ ἱερὰ καὶ ὅσια.* V. 469. E: *οὐδὲ ... πρὸς τὰ ἱερὰ τὰ ὅπλα οἴσομεν ὡς ἀναθήσοντες.* VI. 495. D. Critia 116. C: *ὡραῖα ... ἀπετέλουν ἱερὰ ἐκείνων ἑκάστῳ.* 117. A: *πρέποντα ... τῷ περὶ τὰ ἱερὰ κόσμῳ.* Legg. VII. 800. A: *παρὰ τὰ δημόσια μέλη τε καὶ ἱερά.* VIII. 828. C: *θύοντας τούτων ἑκάστοις ἔμμηνα ἱερά.* IX. 871. D: *τοῖς τὰ ἱερὰ συλῶσι.* X. 909. D: *ἱερὰ μηδὲ εἰς ἐν ἰδίαις οἰκίαις ἐκτήσθω.* XII. 956. A: *πρὸς τὰ κοινὰ ἱερά.* — De lege 319. A: *πάντων τούτων ἱερώτατόν ἐστιν ἄνθρωπος ὁ ἀγαθός.* Tim. 45. A: *τὴν τοῦ θειοτάτου καὶ ἱερωτάτου φέρον οἴκησιν ἐπάνωθεν ἡμῶν.* Legg. VI. 755. E: *εἰς χωρίον ὡς ἱερώτατον.* XI. 927. C: *παρακαταθήκην εἶναι μεγίστην ἡγούμενοι καὶ ἱερωτάτην.*

ἱεροσυλία, ἡ, *sacrilegium.* Legg. X. 885. A: *ἱεροσυλία ... εἴρηται ξυλλήβδην ... τί χρὴ πάσχειν.* IX. 869. B: *ἀσεβείας ... καὶ ἱεροσυλίας.* 854. B: *τὸ νῦν ἐπὶ τὴν ἱεροσυλίαν προτρέπον ἰέναι.* Pol. IV. 443. A: *ἱεροσυλιῶν καὶ κλοπῶν.* Phaed. 113. E: *ἱεροσυλίας πολλὰς καὶ μεγάλας ... ἐξειργασμένοι.*

ἱερόσυλος, ὁ ἡ, *sacrilegus.* Legg. IX. 857. A: *προδότῃ καὶ ἱεροσύλῳ.* 860. B: *τὸν ἱερόσυλον.* Pol. I. 344. B: *ἱερόσυλοι καὶ ἀνδραποδισταὶ* cet. VIII. 552. D. Legg. IX. 854. A: *τὸν τῶν ἱεροσύλων πέρι νόμον.* IX. 856. C: *τοῖς ἱεροσύλοις.* VIII. 831. E: *τοὺς ... τοιχωρύχους καὶ ἱεροσύλους.*

ἱεροσυλῶ, *sacra aufero, sacrilegium committo.* Pol. IX. 575. B: *ἱεροσυλοῦσιν, ἀνδραποδίζονται.* Legg. IX. 854. D: *ὃς δ' ἂν ἱεροσυλῶν ληφθῇ.* 859. B: *περὶ τῶν ... ἱεροσυλούντων.*

ἱερουργία, ἡ, *rerum sacrarum actio.* Legg. VI. 774. E: *ἤ τις ἄλλη περὶ τὰ τοιαῦτα ἱερουργία.*

ἱερῶ, *consecro.* Legg. VI. 771. B: *διὸ καὶ πᾶσαν πόλιν ἄγει ... τὸ ξύμφυτον ἱεροῦν αὐτάς (τὰς διανομάς).*

ἱερωσύνη, ἡ, *sacerdotium.* Legg. VI. 759. D: *μὴ μακρότερον (εἶναι) τὴν ἱερωσύνην ἑκάστην.* A: *οἷς μέν εἰσι πάτριαι ἱερωσύναι καὶ αἷς, μὴ κινεῖν.*

ἴεσις, ἡ, *itio*. Crat. 426. C: ὅτι ἴεσις βούλεται εἶναι (κίνησις). Ib. ἴεσις ἂν ὀρθῶς καλοῖτο.

ἵζω et *ἵζομαι*, *consido*; *sedeo*. Tim. 53. A: τὰ ... μανὰ καὶ κοῦφα εἰς ἑτέραν ἵζει φερόμενα ἕδραν. Men. 95. D: ἵζε (Theogn.). Legg. IX. 855. D: ὁ δικαστὴς ... ἐγγύτατα κατὰ πρέσβιν ἱζέσθω. Tim. 25. D: ὃν (πηλὸν) ἡ νῆσος ἱζομένη παρέσχετο.

ἵημι, *iacio*; *mitto*, *fundo*, *edo*. Phaedr. 259. D: αἳ ... ἱᾶσι καλλίστην φωνήν. Theaet. 194. A: οἷον τοξότην φαῦλον ἱέντα παραλλάξαι τοῦ σκοποῦ. Legg. X. 890. D: πᾶσαν ... φωνὴν ἱέντα. Ax. 365. A: στεναγμοὺς ἱέντα. Pol. X. 617. B: φωνὴν μίαν ἱεῖσαν (Σειρῆνα). Legg. XI. 934. D: πολλὴν φωνὴν ἱέντες. VII. 812. D: ἄλλα ... μέλη τῶν χορδῶν ἱεισῶν. Phil. 51. D: τὰς ἕν τι καθαρὸν ἱείσας μέλος. Pol. I. 336. B: συστρέψας ἑαυτὸν ὥσπερ θηρίον ἧκεν ἐφ' ἡμᾶς ὡς διαρπασόμενος. Ep. VII. 349. A: παντοδαπὰ χρώματα ἧκεν. Med. *me proripio*, *impetu feror*. Phaedr. 241. B: ἵεται (v. ἵεται) φυγῇ μεταβαλών. Crat. 427. A: τὸ ἱέναι καὶ τὸ ἵεσθαι (v. ἴεσθαι). 419. E: ὅτι ... ἱέμενος ῥεῖ καὶ ἐφιέμενος τῶν πραγμάτων. Ion. 539. A: ἱεμένων ἔρεβόςδε (Hom.).

ἰητήρ, ὁ (i. q. ἰατρός). Pol. III. 389. D. (Hom.).

(ἵνα) διαπερανάμενοι οὕτως εἰςίοιμεν. Gorg. 457. C: ὅτι οὐ ῥαδίως δύνανται ... διδάξαντες ἑαυτοὺς οὕτω διαλύεσθαι τὰς συνουσίας. Crat. 425. B: διελομένους ... οὕτω θεᾶσθαι. Phil. 44. E: πότερον εἰς τὰ σκληρότατα ἀποβλέποντες οὕτως ἂν μᾶλλον ξυννοήσαιμεν (*utrum magis perspiciamus si durissima consideremus*). Pol. V. 464. A: τούτου δὲ κοινωνοῦντες οὕτω δὴ λύπης ... μάλιστα κοινωνίαν ἕξουσι; Tim. 30. A: βουληθεὶς ... ὁ θεὸς ἀγαθὰ ... πάντα (εἶναι) ... οὕτω δὴ πᾶν ... εἰς τάξιν ... ἤγαγεν. 71. D: μεμνημένοι ... οὕτω δὴ ... κατέστησαν ἐν τούτῳ τὸ μαντεῖον. Legg. XI. 914. E. Lys. 213. D. — Etiam cum verbo coniunctum subiicitur ubi ex nostra loquendi consuetudine praemitti debebat. Prot. 325. A: μετὰ τούτου πάντ' ἄνδρα, ἐάν τι καὶ ἄλλο βούληται μανθάνειν ἢ πράττειν, οὕτω πράττειν (*ita agere ut cum hoc agat*). Gorg. 507. D: πάντα εἰς τοῦτο ... συντείνοντα ... οὕτω πράττειν (*ita agere ut omnia ad hoc referat*, h. e. *in omnibus hoc spectet*). Phaed. 67. E: οὐκοῦν ... γελοῖον ἂν εἴη ἄνδρα παρασκευάζονθ' ἑαυτὸν ἐν τῷ βίῳ ὅτι ἐγγυτάτω ὄντα τοῦ τεθνάναι οὕτω ζῆν ... κἄπειθ' ... ἀγανακτεῖν; (*virum ita vivere ut sese morti quam proximum exhibeat*, h. e. *virum in vita id agere ut quam possit proxime ad mortem accedat*). 84. B: γαλήνην τούτων παρασκευάζουσα ... ζῆν τε οἴεται οὕτω δεῖν cet. (*ita sibi censet vivendum esse ut eorum sibi quietem comparet*). — Praemissum participio reperitur Phaed. 98. A: καὶ δὴ καὶ περὶ ἡλίου οὕτω παρεσκευάσμην ὡςαύτως πευσόμενος (ubi οὕτω nectendum cum v. παρεσκευάσμην et part. futuri cum part. ὡσαύτως infinitivi loco positum est.). — Saepius est *itaque*. Phaed. 61. B: οὕτω δὴ πρῶτον μὲν εἰς τὸν θεὸν ἐποίησα cet. — οὕτω δὲ καί, praec. post ὥσπερ (Prot. 313. D. Soph. 258. C. Crat. 394. B. 425. C.), οὕτω δή, οὕτω δὴ ἤδη et οὕτως ἤδη (Phaed. 61. D. 86. E. Crat. 424. C. Conv. 194. D. Pol. VI. 484. C. 504. B.). — οὕτως — ὡς c. infin. Pol. V. 477. A: εἰ δὲ δή τι οὕτως ἔχει ὡς εἶναί τε καὶ μὴ εἶναι cet. Sq. partic. Legg. VIII. 831. A: καί τινος ἀποθανόντος οὕτως ὡς ἀκουσίου τοῦ φόνου γενομένου. — οὕτως ... ὥσπερ, *perinde atque*. Phaed. 92. D: ἐῤῥήθη γάρ που οὕτως ἡμῶν εἶναι ἡ ψυχὴ ... ὥσπερ αὐτῆς ἐστὶν (al. ἔστιν) ἡ οὐσία cet. Theaet. 159. B: καὶ ἕτερον ἄρα οὕτως ὥσπερ ἀνόμοιον; — Praegresso ὥσπερ subiicitur οὕτως, etiam in media oratione. Prot. 329. A: ὥσπερ τὰ χαλκεῖα πληγέντα μακρὸν ἠχεῖ καὶ ἀποτείνει ... καὶ οἱ ῥήτορες οὕτω cet. Pol. I. 354. B. IX. 585. A. al.

ὀφειλέτης, ὁ, *debitor*. Legg. V. 736. D: κεκτημένων ... καὶ ὀφειλέτας αὐτοῖς πολλούς.

ὀφείλημα, τό, *debitum*. Legg. IV. 717. B: ἀποτίνειν τὰ πρῶτά τε καὶ μέγιστα ὀφειλήματα.

ὀφείλω, *debeo* et, ut Lat. *debeo*, *acceptum refero*; etiam *convictus* vel *damnatus sum* (cum v. δίκην). Polit. init. ἦ πολ-

λὴν χάριν ὀφείλω σοι τῆς Θεαιτήτου γνωρίσεως cet. Phaed. 118. A: τῷ Ἀσκληπίῳ ὀφείλομεν ἀλεκτρυόνα. Legg. VI. 774. B: δεκαπλάσιον ὀφειλέτω. D. VIII. 844. E. X. 909. A: (ἐὰν) ὀφείλῃ ... αὖθις τὴν τοιαύτην δίκην. Pol. I. 332. A: τοῖς ... φίλοις οἴεται ὀφείλειν τοὺς φίλους ἀγαθὸν ... μέν τι δρᾶν, κακὸν δὲ μηδέν. VII. 520. B: μηδενὶ τροφὴν ὀφεῖλον. I. 331. B: μηδ' αὖ ὀφείλοντα ἢ θεῷ θυσίας τινὰς ἢ ἀνθρώπῳ χρήματα. VIII. 549. E. Legg. IV. 717. B. Pol. VIII. 555. D: ὀφείλοντες χρέα. IV. 432. C: εἰ γὰρ ὤφελον (*utinam possem*, int. πρότερος ἰδεῖν). Crit. 44. D: εἰ γὰρ ὤφελον ... οἷοί τε εἶναι οἱ πολλοὶ τὰ μέγιστα κακὰ ἐξεργάζεσθαι cet. Pol. I. 332. B: ὀφείλεται ... παρά γε τοῦ ἐχθροῦ τῷ ἐχθρῷ ὅπερ καὶ προςήκει, κακόν τι. 335. E: τοῖς μὲν ἐχθροῖς βλάβην ὀφείλεσθαι παρὰ τοῦ δικαίου ἀνδρός, τοῖς δὲ φίλοις ὠφέλειαν. 331. E: ὀφειλόμενόν πού ἐστι τοῦτο ὃ παρακατέθετο. 332. B: ὅ τι ἂν τύχῃ ὀφειλόμενον. C: τοῦτο (τὸ προςῆκον) ... ὠνόμασεν ὀφειλόμενον. D. Crat. 400. C: ἕως ἂν ἐκτίσῃ τὰ ὀφειλόμενα (ἡ ψυχή). Pol. I. 331. E: τὰ ὀφειλόμενα ... ἀποδιδόναι. 332. A. 335. E. X. 614. A: ἵνα ... ἑκάτερος αὐτῶν ἀπειλήφῃ τὰ ὑπὸ τοῦ λόγου ὀφειλόμενα ἀκοῦσαι.

ὄφελος, τό, *utilitas*; etiam instar adiectivi ponitur in eo *quod prodest* vel *conducit*. Gorg. 504. E: τί γὰρ ὄφελος σώματί γε κάμνοντι ... σιτία πολλὰ διδόναι —; 513. E: οὐδὲν ὄφελος ἄλλην εὐεργεσίαν οὐδεμίαν προςφέρειν. Pol. VI. 505. A: οἶσθ' ὅτι οὐδὲν ἡμῖν ὄφελος. E: ἀποτυγχάνει καὶ τῶν ἄλλων εἴ τι ὄφελος ἦν. VIII. 552. B. Legg. I. 626. B: ὡς τῶν ἄλλων οὐδενὸς οὐδὲν ὄφελος ὄν. 641. B: ἑνὸς μὲν βραχύ τι τῇ πόλει γίγνοιτ' ἂν ὄφελος. IV. 710. A. Epin. 989. B: μέγιστον δὲ ὄφελος, ἂν γίγνωνται. 991. D. Apol. 36. C: οἷ ἐλθὼν μήτε ὑμῖν μήτε ἐμαυτῷ ἔμελλον μηδὲν ὄφελος εἶναι. Lach. 182. A: μέγιστον μέντοι αὐτοῦ ὄφελος, ὅταν cet. Lys. 208. E. Euthyd. 281. B: ὄφελός τι τῶν ἄλλων κτημάτων ἄνευ φρονήσεως καὶ σοφίας; 289. A: οὐδὲν ὄφελος αὐτὸ ἐφάνη ὄν. B: οὐδὲ ταύτης ἔοικεν ὄφελος οὐδέν. Charm. 155. E. Pol. II. 365. B: τὰ λεγόμενα δικαίῳ μὲν ὄντι μοι, ἐὰν μὴ καὶ δοκῶ, ὄφελος οὐδέν φασιν εἶναι. Ep. VII. 341. D: τοῖς ... ἀνθρώποις μέγα ὄφελος (*ad magnam hominum utilitatem*) γράψαι. Etiam in *homine* dicitur *frugi* vel eo *qui praestat*. Pol. VI. 489. C: οὗ ἂν τῇ ἀληθείᾳ τι ὄφελος ᾖ. VII. 530. C: ἐάν τι ἡμῶν ὡς νομοθετῶν ὄφελος ᾖ. VIII. 567. B: ὅτου τι ὄφελος. Legg. I. 630. C: οὗ καὶ σμικρὸν ὄφελος. Id. 647. A. II. 663. D. IX. 856. C. Apol. 28. B. Euth. 4. E: οὐδὲν γὰρ ἄν μου ὄφελος εἴη ... εἰ μὴ cet. Crit. 54. A: εἴπερ γέ τι ὄφελος αὐτῶν ἐστὶ τῶν σοι φασκόντων ἐπιτηδείων εἶναι. Charm. 175. B: εἴ τι ἐμοῦ ὄφελος ἦν πρὸς τὸ καλῶς ζητεῖν.

ὀφεώδης, ὁ ἡ, *anguinus*. Pol. IX. 590. B: ὅταν τὸ λεοντῶδές τε καὶ ὀφεῶδες αὔξηται.

ὀφθαλμία, ἡ, *lippitudo*. Gorg. 496. A: νοσεῖ που ἄνθρωπος ὀφθαλμούς, ᾧ ὄνομα ὀφθαλμία; Alc. II. 139. E. 140. A. Phaedr. 255. D: οἷον ἀπ' ἄλλου ὀφθαλμίας ἀπολελαυκώς. Gorg. 496. A: ὅταν τῆς ὀφθαλμίας ἀπαλλάττηται. Pol. X. 609. A: ὀφθαλμίαν.

ὀφθαλμιῶ, *lippio*. Alc. II. 140. A: οὐδέ γε ὀφθαλμιῶσιν. 139. E: ὀφθαλμιᾶν.

ὀφθαλμός, ὁ, *oculus*. Prot. 330. A: οὐκ ἔστιν ὀφθαλμὸς οἷον τὰ ὦτα. Theaet. 156. E: ὀφθαλμὸς ὁρῶν (ἐγένετο). De iusto 372: ὀφθαλμὸς ... ᾧ ὁρῶμεν. Alc. I. 132. E: τῷ ὀφθαλμῷ ᾧ ὁρῶμεν. Euthyd. 299. E: ἐν ἑκατέρῳ τὠφθαλμῷ (v. τῷ ὀφθ.). Alc. I. 133. A: ὀφθαλμὸς ... ὀφθαλμὸν θεώμενος. Conv. 221. B: τὠφθαλμὼ παραβάλλων. Pol. II. 361. E: ἐκκαυθήσεται τὠφθαλμώ. Prot. 329. D: ὀφθαλμοὶ καὶ ὦτα. Pol. IV. 420. C: οἱ ... ὀφθαλμοί, κάλλιστον ὄν. Ion. 535. C. Crat. 430. E: τὸ δὲ δεῖξαι λέγω εἰς τὴν τῶν ὀφθαλμῶν αἴσθησιν καταστῆσαι. Pol. I. 353. B: ἀρετὴ ὀφθαλμῶν. Tim. 67. E. Hipp. min. 374. D: πονηρία ὀφθαλμῶν. Theaet. 174. C: περὶ τῶν παρὰ πόδας καὶ τῶν ἐν ὀφθαλμοῖς διαλέγεσθαι. Pol. I. 352. E. V. 452. D: τὸ ἐν τοῖς ὀφθαλμοῖς ... γελοῖον. VII. 518. C: τυφλοῖς ὀφθαλμοῖς. Charm. 155. C. Gorg. 473. C: (ἐὰν) τοὺς ὀφθαλμοὺς ἐκκάηται. 496. A: νοσεῖ που ἄνθρωπος ὀφθαλμούς. Pol. IV. 440. A: διελκύσας τοὺς ὀφθαλμούς. Alc. I. 116. E. Charm. 156. B: τοὺς ὀφθαλμοὺς ἀλγῶν.

ὀφθῆναι (tanquam ab οπτω ductum), *visum* vel *conspectum esse* et *conspici*. Phaed. 81. D: περὶ ἃ δὴ καὶ ὤφθη ἄττα ψυχῶν σκιοειδῆ φαντάσματα (al. σκοτοειδῆ φάσματα). Pol. IX. 577. B: ἐν οἷς μάλιστα γυμνὸς ἂν ὀφθείη τῆς τραγικῆς σκευῆς. Conv. 178. E: ὅταν ὀφθῇ ἐν αἰσχρῷ τινὶ ὤν. Tim. 72. A. Phaedr. 232. A: ὅταν ὀφθῶσι διαλεγόμενοι ἀλλήλοις. Polit. 285. B. Soph. 254. A: οὐδαμῶς εὐπετὴς ὀφθῆναι. Conv. 179. A. Pol. VII. 517. B: ὀφθεῖσα. Ax. 364. C: ὀφθέντος σου μόνον ... ῥαΐσει. Tim. 47. A: ἡμέρα τε καὶ νὺξ ὀφθεῖσαι. Legg. VIII. 838. C: ὀφθέντας. Phaedr. 239. C: ὀφθήσεται ... μαλθακόν τινα ... διώκων. — Med. Phaed. 115. C: ὃν ὄψεται ὀλίγον ὕστερον νεκρόν. Pol. VI. 507. E. Alc. I. 133. A: οὐκ ὄψεται ἑαυτόν. Charm. 168. D. Polit. 307. C: διαφερομένους ἀλλήλοις ὀψόμεθα. Phil. 42. C. (ubi v. ὀψώμεθα). Pol. II. 377. C. VII. 520. C: ὄψεσθε. Phaedr. 521. E: ὅπου ἂν οἴηται ὄψεσθαι τὸν ἔχοντα τὸ κάλλος. Phaed. 68. A. Pol. VII. 516. A. Legg. XII. 950. D. Parm. 163. B: ὀψόμενοι. Legg. X. 897. E.

ὄφις, ὁ, *anguis*. Pol. II. 358. B: ὥσπερ ὄφις κηληθῆναι. Phaed. 112. D: ὥσπερ οἱ ὄφεις. De leg. 319. A: ὄρνεα καὶ ὄφεις.

ὀφλισκάνω (tempora formantur ab ὄφλω), *commereo* (vern. *ich mache mich schuldig, ziehe mir zu*); praec. cum v. γέλωτα in eo dicitur *cui risus debetur* (nos: *der sich lächerlich macht*). Theaet. 161. E: ὅσον γέλωτα ὀφλισκάνομεν. Legg. VI. 778. E: γέλωτ᾽ ἂν δικαίως πάμπολυν ὄφλοι. Hipp. mai. 282. A: γέλωτ᾽ ἂν ὄφλοι πρὸς ὑμᾶς. Conv. 199. B: ἵνα μὴ γέλωτα ὄφλω. Pol. V. 451. A: οὔτι γέλωτα ὀφλεῖν (v. ὄφλειν). Legg. VII. 790. A. Alc. I. 121. B: πόσον ἂν οἴει γέλωτα ὀφλεῖν (v. ὄφλειν); Pol. VI. 506. D: γέλωτα ὀφλήσω. Phaed. 117. A: γέλωτα ὀφλήσειν παρ᾽ ἐμαυτῷ. — Cum v. δίκην et absol. (etiam c. accus. et genit.) ὀφλεῖν est *convictum esse, multa* vel *poena teneri*. Legg. VI. 755. A: γεγράφθω ... ὠφληκώς. IX. 874. B: τῷ ... ὠφληκότι φόνου. Apol. 39. B: ὠφληκότες μοχθηρίαν καὶ ἀδικίαν. 36. A: ὅτι ... ἂν ὦφλε χιλίας δραχμάς. Legg. VI. 754. E: ἐὰν δ᾽ ὁ φεύγων ὄφλῃ. VIII. 843. B: ἣν δέ τις ὄφλῃ τὴν τοιαύτην δίκην. 845. E: ἂν δέ τις ὄφλῃ φαρμακείαις τισὶ βλάπτων. IX. 857. A. B. 873. B: ἐὰν δέ τις ὄφλῃ φόνου τοιούτου. 877. B: (ἐὰν) ὄφλῃ τραύματος ἐκ προνοίας. 878. B. Crat. 433. A: ἵνα μὴ ὄφλωμεν (*ne poena teneamur*). Legg. XI. 933. D. IX. 856. D: ἐάν τινι πατὴρ ... καὶ πάππου πατὴρ ἐφεξῆς ὄφλωσι θανάτου δίκην. V. 745. A: ὁ δὲ ὀφλὼν (v. ὄφλων) ἄλλο τοσοῦτον μέρος ἀποτίσει τῆς αὐτοῦ κτήσεως. VI. 767. E. VIII. 844. D. Apol. 39. B: θανάτου δίκην ὀφλὼν (v. ὄφλων). Legg. IX. 866. B: τῷ ὀφλόντι (v. ὄφλοντι). 872. A: 877. E: φόνου ὀφλόντα (v. ὄφλοντα) ἑκουσίου. XI. 916. B: τὸν ... ὀφλόντα τὴν δίκην. 873. E: τὸ ... ὀφλόν (v. ὄφλον). 874. A. 876. C: τῶν ὀφλόντων πέρι cet.

ὄφρα, *ut* (Crat. 407. D. ex Hom. Alc. II. 150. D. Hom. Ep. VII. 345. E.) et *dum* (Phaedr. 264. D. epigr.).

ὀχεταγωγία, ἡ, *aquae ductus*. Legg. VIII. 844. A: πλὴν αὐτῆς τῆς ὀχεταγωγίας.

ὀχετεύω, *derivo, infundo*. Legg. II. 666. A: ὡς οὐ χρὴ πῦρ ἐπὶ πῦρ ὀχετεύειν εἴς τε τὸ σῶμα καὶ τὴν ψυχήν.

ὀχετός, ὁ, *canalis*. Tim. 43. D: μετὰ τοῦ ῥέοντος ἐνδελεχῶς ὀχετοῦ. Phaed. 112. C: ῥεῖ διὰ τῶν ὀχετῶν. Critia 117. B. Locr. 101. D: οἷον δι᾽ ὀχετῶν ἀγομένας. Tim. 70. D: τῆς ἀρτηρίας ὀχετούς. 77. C: οἷον ἐν κήποις ὀχετούς. 78. C. 79. A.

ὀχεύω, *ineo, salio*. Pol. V. 454. D: τὸ μὲν θῆλυ τίκτειν, τὸ δὲ ἄῤῥεν ὀχεύειν. Euthyd. 298. E: ἔγωγέ τοι εἶδον ... αὐτὸν ὀχεύοντα τὴν κύνα. Pol. IX. 586. A: ὀχεύοντες.

ὄχημα, τό, *vehiculum* (navigium et currus). Polit. 289. B: ὄχημά cet. Phaed. 85. D: ἐπὶ βεβαιοτέρου ὀχήματος, λόγου (v. ἢ λογ.) θείου τινός, διαπορευθῆναι (antec. ἐπὶ σχεδίας). Polit. 288. A: ὄχημα αὐτό που λέγομεν (v. λεγόμενον). Tim. 41. E: ἐμβιβάσας ὡς εἰς ὄχημα. 44. E: ὄχημ᾽ αὐτῷ τοῦτο καὶ εὐπορίαν ἔδοσαν. 69. C: ὄχημα ... πᾶν τὸ

σῶμα ἔδοσαν. Phaedr. 247. B: τὰ ... θεῶν ὀχήματα (currus) ... ῥᾳδίως πορεύεται. Phaed. 113. D: ἀναβάντες ἃ δὴ αὐτοῖς ὀχήματά (*navigia*) ἐστιν. Epin. 986. B: εἴτε φερομένους ἐν ὀχήμασι. Hipp. mai. 295. D: τὰ ὀχήματα τά τε πεζὰ καὶ τὰ ἐν τῇ θαλάττῃ πλοῖα cet.

ὄχησις, ἡ, *vectura*. Tim. 89. A: ὅπηπερ ἂν ὀχήσεις ἄκοποι γίγνωνται. **equitatio*. Pol. V. 452. C: (περὶ) ἵππων ὀχήσεις.

ὀχληρός, ά, όν, *turbulentus*. Pol. VIII. 569. A: μετὰ ὀχληρῶν ξυμποτῶν. **molestus*. Hipp. mai. 295. B: οὐκ ὀχληρός ἔσομαί σοι πυνθανόμενος.

ὄχλος, ὁ, *turba*, *copia*; *multitudo hominum* vel *coetus*; *vulgus* (*volgus*, germ. *Volk*). Pariter vern. *die Menge* est et copia et vulgus. Phaedr. 229. D: ἐπιρρεῖ ... ὄχλος τοιούτων Γοργόνων καὶ Πηγάσων. 277. E: οὐδὲ ἂν ὁ πᾶς ὄχλος αὐτὸ ἐπαινέσῃ. Pol. X. 607. C: ὁ τῶν ... σοφῶν ὄχλος (e poët.). Legg. II. 670. B: γελοῖος ... ὅ γε πολὺς ὄχλος ἡγούμενος cet. V. 734. B: ὁ πᾶς ἀνθρώπινος ὄχλος. VII. 819. B. Euthyd. 271. A. Polit. 304. C: τὸ πειστικὸν ... πλήθους τε καὶ ὄχλου. Phil. 62. C: ὥσπερ θυρωρὸς ὑπ᾽ ὄχλου τινὸς ὠθούμενος καὶ βιαζόμενος. Legg. IV. 707. E: ὡς ὄχλου τινὸς ἐν ταῖς πόλεσιν ἑκάσταις γεγενημένου πλείονος ἢ κατὰ τὴν ἐκ τῆς γῆς τροφήν. Gorg. 458. E: ὥστ᾽ ἐν ὄχλῳ πιθανὸν εἶναι. 502. A: ὅ τι μέλλει χαριεῖσθαι τῷ ὄχλῳ τῶν θεατῶν. Theaet. 174. C. Pol. III. 397. D: τῷ πλείστῳ ὄχλῳ. VI. 494. A. Lach. 183. D: ἐν τοσούτῳ ὄχλῳ. Gorg. 502. C: οὐκοῦν πρὸς πολὺν ὄχλον καὶ δῆμον οὗτοι λέγονται οἱ λόγοι; Polit. 291. A: καί τινα ἕτερον πάμπολυν ὄχλον σκεπτέον. Conv. 174. A: φοβηθεὶς τὸν ὄχλον. Pol. VIII. 565. E. Tim. 75. E: διὰ τὸν τῶν σαρκῶν ὄχλον. Legg. IV. 722. B. Charm. 154. A: ἄλλον ὄχλον ὄπισθεν ἑπόμενον. Ax. 368. D: πρὸς ὄχλον ζῶν. 370. D: φιλοσοφῶν οὐ πρὸς ὄχλον καὶ θέατρον. Gorg. 455. A: δικαστηρίων τε καὶ τῶν ἄλλων ὄχλων. Id. Euthyd. 290. A. Gorg. 454. B: ἐν τοῖς ἄλλοις ὄχλοις. E. Pol. VIII. 568. C: ξυλλέγοντες τοὺς ὄχλους. **molestia*. Alc. I. 103. A: ὅτι οἱ μὲν ἄλλοι δι᾽ ὄχλου ἐγένοντό σοι διαλεγόμενοι. Phaed. 84. D: ὄχλον παρέχειν. Pol. V. 450. B: μὴ παράσχοι πολὺν ὄχλον.

ὀχλώδης, ὁ ἡ, *turbas excitans*. Pol. IX. 590. B: ὑπὸ τῷ ὀχλώδει θηρίῳ.

ὀχυρῶ, *munio*. Ax. 371. B: τὰ ... πρόπυλα τῆς εἰς Πλούτωνος ὁδοῦ σιδηροῖς κλείθροις ... ὠχύρωται.

ὀχῶ, *veho*; *duco*. Crat. 400. B: τῇ δυνάμει ταύτῃ ἣ φύσιν ὀχεῖ καὶ ἔχει. Tim. 87. D: ὅτι ψυχὴν ἰσχυρὰν ... ἔλαττον εἶδος ὅταν ὀχῇ. Crat. 400. A: τὴν φύσιν παντὸς τοῦ σώματος ... τί σοι δοκεῖ ἔχειν τε καὶ ὀχεῖν ἄλλο ἢ ψυχή; Med. *vehor*. Lys. 208. A: ἣν ἐπιθυμήσῃς ἐπί τινος τῶν τοῦ πατρὸς ἁρμάτων ὀχεῖσθαι. Legg. VII. 789. D: ἐφ᾽ ἵππων

ὀχουμένων (ὀχούμενα?). Etiam trop. *confido* (pr. alicui re tamquam navi me committo). Phaed. 85. D: ἐπὶ τούτου (τοῦ λόγου) ὀχούμενον. Legg. III. 699. B: ἐπὶ ... τῆς ἐλπίδος ὀχούμενοι ταύτης.

ὀψέ, *sero*. Prot. 310. C: μάλα γε ὀψὲ ἀφικόμενος ἐξ Οἰνόης. Phaed. 116. E: πάνυ ὀψὲ πίνοντας. Crat. 433. A: νύκτωρ περιιόντες ὀψέ. (Id. Pol. IX. 574. D.) Conv. 217. D: ὅτι ὀψὲ εἴη. Pol. IV. 441. B: ὀψέ ποτε. Legg. VII. 819. D. Ep. VII. 322. A. Crat. 433. A: ὀψιαίτερον τοῦ δέοντος. Prot. 326. C: ὀψιαίτατα ἀπαλλάττονται.

ὀψιμαθής, ὁ ἡ, *qui sero discere coepit* vel *cognovit*. Pol. III. 409. B: ὀψομαθῆ γεγονότα τῆς ἀδικίας οἷόν ἐστιν. Soph. 251. B: τῶν γερόντων τοῖς ὀψιμαθέσι.

ὄψις, ἡ, *visus*, h. e. *sensus* vel *videndi vis*; *acies*; etiam *oculus*. Phaedr. 250. D: ὄψις ... ἡμῖν ὀξυτάτη τῶν διὰ τοῦ σώματος ἔρχεται αἰσθήσεων. Theaet. 164. A. Conv. 219. A: ἡ ... τῆς διανοίας ὄψις. Pol. VI. 508. D. Tim. 47. A: ὄψις ... αἰτία τῆς μεγίστης ὠφελείας γέγονεν ἡμῖν. Legg. XII. 961. D. Alc. I. 133. B: ἐν ᾧ (τοῦ ὄμματος τόπῳ) τυγχάνει ἡ ὀφθαλμοῦ ἀρετὴ ἐγγιγνομένη· ἔστι δὲ τοῦτό που ἡ ὄψις. De lege 313. D: ἄλλο μὲν ὄψις, ἄλλο δὲ τὰ ὁρώμενα. Def. 411. C. Theaet. 156. D: τῆς ... ὄψεως πρὸς τῶν ὀφθαλμῶν. E: ὀφθαλμὸς ... ὄψεως ἔμπλεως ἐγένετο. 185. A. Phil. 39. B. Pol. I. 353. C: τυφλότητα γὰρ ἴσως λέγεις ἀντὶ τῆς ὄψεως. VI. 507. C: ἐνούσης ... ἐν ὄμμασιν ὄψεως. VII. 532. A: ἡ τῆς ὄψεως δύναμις. Tim. 45. C: πρὸς τὸ τῆς ὄψεως ῥεῦμα. Phaed. 111. B: ὄψει καὶ ἀκοῇ cet. Theaet. 206. A. Phil. 41. E. Pol. VI. 507. C. VII. 529. D. Tim. 67. C. Alc. I. 133. A: ἐν τῇ τοῦ καταντικρὺ ὄψει. Hipp. mai. 299. B. Men. 76. D. Definitur de lege 314. A. Pol. III. 401. C: ἢ πρὸς ὄψιν ἢ πρὸς ἀκοήν. VI. 508. A: οὗ ἡμῖν τὸ φῶς ὄψιν ... ποιεῖ ὁρᾶν. VII. 519. B: τὴν τῆς ψυχῆς ὄψιν. X. 603. B: ἡ κατὰ τὴν ὄψιν (μιμητική). Tim. 47. B. 67. D: ἐμπίπτοντα ... εἰς τὴν ὄψιν. Theaet. 156. B: ὄψεις τε καὶ ἀκοαὶ cet. Charm. 167. C: (ἢ) ἑαυτῆς δὲ καὶ τῶν ἄλλων ὄψεων ὄψις ἐστί. Theaet. 156. B: ὄψεσι ... χρώματα παντοδαποῖς παντοδαπά (ὁμόγονα). Charm. 167. D: αὐτὴν δὲ καὶ τὰς ἄλλας ὄψεις (ὁρᾷ). **spectatio* (etiam interior vel arcana), *contemplatio*; *adspectus* vel *conspectus*. Crat. 396. B: ἡ ... ἐς τὰ ἄνω ὄψις. Phaed. 74. C: ὅταν ... ἄλλο ἰδὼν ἀπὸ ταύτης τῆς ὄψεως ἄλλο ἐννοήσῃς. Soph. 266. C. Phil. 28. E: τῆς ὄψεως τοῦ κόσμου καὶ ἡλίου cet. Phaedr. 250. B: ὅτε ... μακαρίαν ὄψιν τε καὶ θέαν ... εἶδον. D: εἰς ὄψιν ἰόν. Tim. 80. E: οἵαν ὄψιν διεληλύθαμεν. Ep. VII. 344. B: ὄψεις τε καὶ αἰσθήσεις. Legg. X. 887. D: ὄψεις (*spectacula*) ὁρῶντες ἑπομένας αὐτοῖς. *ut vern. *Gesicht*, est etiam *species*, *facies* et *visum* (velut *Traumgesicht*). Phaed. 60. E: ἄλλοτ' ἐν ἄλλῃ ὄψει φαινόμενον. Theaet. 193. C: τὸ

οἰκεῖον ἑκατέρου σημεῖον ἀποδοὺς τῇ οἰκείᾳ ὄψει. Phaedr. 240. D: *ὁρῶντι ... ὄψιν πρεσβυτέραν καὶ οὐκ ἐν ὥρᾳ.* 254. B: *εἶδον τὴν ὄψιν τὴν τῶν παιδικῶν ἀστράπτουσαν.* Theaet. 193. C. Parm. 127. B: *καλὸν δὲ κἀγαθὸν τὴν ὄψιν.* (Id. Euthyd. 271. B.). Pol. II. 376. B: *ᾗ ... ὄψιν οὐδενὶ ἄλλῳ φίλην καὶ ἐχθρὰν διακρίνει ἢ* cet. V. 452. B: *μὴ ἥδεις τὴν ὄψιν.* D. Tim. 50. E. Epin. 985. B. Lys. 207. A: *τὴν ὄψιν διαφέρων.* Pol. IX. 572. B: (*ὅτι*) *ἥκιστα παράνομοι τότε αἱ ὄψεις φαντάζονται τῶν ἐνυπνίων.* Legg. X. 910: *ὄψεις πολλὰς ἀπομνημονεύοντας.*

ὄψον, τό, *opsonium.* Pol. II. 372. C: *ἄνευ ὄψου ... ποιεῖς τοὺς ἄνδρας ἑστιωμένους.* VIII. 559. A: *σίτου τε καὶ ὄψου.* B. IX. 585. B. Alc. I. 117. C: *περὶ ὄψου σκευασίας.* Id. Lys. 209. E. De lege 316. E. Hipp. mai. 290. E: *ἄνευ ὄψου πάνυ γενναίου.* Gorg. 518. B: *ὁ δὲ ὄψον* (*παρασκευάζων*). Theaet. 175. E: *μηδὲ ὄψον ἡδῦναι.* Pol. II. 372. C: *ὅτι καὶ ὄψον ἕξουσιν.* 373. A: *ὄψα ... καὶ μύρα* cet. III. 404. D: *Σικελικὴν ποικιλίαν ὄψων ... οὐκ αἰνεῖς.* Prot. 334. C: *ἐν τοῖς σιτίοις τε καὶ ὄψοις.* Pol. I. 332. D: *ἡ τοῖς ὄψοις τὰ ἡδύσματα* (*ἀποδιδοῦσα*). II. 372. E: *ὄψα ... καὶ τραγήματα.*

ὀψοποιία, ἡ, *ars coquinaria.* Gorg. 462. D: *ὀψοποιία ἥτις μοι δοκεῖ τέχνη εἶναι.* E. 465. D: *ἀντίστροφον ὀψοποιίας ἐν ψυχῇ, ὡς ἐκεῖνο ἐν σώματι.* 518. B: *ὁ τὴν ὀψοποιίαν συγγεγραφὼς τὴν Σικελικήν.*

ὀψοποιικός, ή, όν, *ad coquinariam artem pertinens,* fem. *ars coquinaria.* Gorg. 463. B: *ἡ ὀψοποιική* (v. *ὀψοποιητική*). 464. D. 465. B: *ἡ ὀψοποιικὴ κολακεία.* C: *τοῦτο ὀψοποιικὴ πρὸς ἰατρικήν.* D: *ἥ τε ὀψοποιικὴ καὶ ἰατρική.* 500. E: *ὅτι ἡ μὲν ὀψοποιικὴ οὔ μοι δοκεῖ τέχνη εἶναι.* Conv. 187. E: *ταῖς περὶ τὴν ὀψοποιικὴν τέχνην ἐπιθυμίαις.* Gorg. 465. D: *ἀκρίτων ὄντων τῶν τε ἰατρικῶν καὶ ὑγιεινῶν καὶ ὀψοποιικῶν.*

ὀψοποιός, ὁ, *coquus.* Gorg. 521. E: *κατηγοροῦντος ὀψοποιοῦ.* Theaet. 178. D: *τοῦ ὀψοποιοῦ.* Gorg. 464. D: *ὀψοποιόν τε καὶ ἰατρόν.* 517. E: *σιτοποιὸν ἢ ὀψοποιόν.* Pol. II. 373. C: *ὀψοποιῶν τε καὶ μαγείρων.* Euthyd. 290. B: *τοῖς ὀψοποιοῖς.*

LEXICON PLATONICUM

SIVE

VOCUM PLATONICARUM

INDEX.

CONDIDIT

D. FRIDERICUS ASTIUS.

VOL. III.

LIPSIAE 1838.
IN LIBRARIA WEIDMANNIANA.

Fotomechanischer Nachdruck:
G. Menden, Bonn

Π.

πῖ, τό, Crat. 403. A: *προςκεῖται ... τὸ πῖ* cet.

παγγέλοιος, ὁ ἡ, *perridiculus*. Phaedr. 260. C: *παγγέλοιόν γ' ἂν ἤδη εἴη*. Pol. VII. 522. C: *παγγέλοιον ... στρατηγὸν Ἀγαμέμνονα ἐν ταῖς τραγῳδίαις Παλαμήδης ἑκάστοτε ἀποφαίνει*.

πάγη, ἡ, *laqueus*. Legg. VII. 824: *ἄρκυσί τε καὶ πάγαις*.

πάγιος, α, ον, *firmus*. Epin. 984. D: *πάγιον ἐχέτω τοῦτον τὸν λόγον*.

παγίως, *certo*, *definite*. Theaet. 157. A: *ἐπεὶ καὶ τὸ ποιοῦν εἶναί τι καὶ τὸ πάσχον αὖ τι ἐπὶ ἑνὸς νοῆσαι ... οὐκ εἶναι* (v. *ἔστι*) *παγίως*. Pol. IV. 434. D: *μηδέν ... πω πάνυ παγίως αὐτὸ λέγωμεν*. V. 479. C: *οὔτ' εἶναι οὔτε μὴ εἶναι οὐδὲν αὐτῶν δυνατὸν παγίως νοῆσαι*. Tim. 49. D: *παγίως διισχυριζόμενος*.

πάγκακος, ὁ ἡ, *prorsus malus* vel *inutilis* (vern. *schädlich*). Legg. V. 743. B: *τοτὲ δέ ποτε καὶ πάγκακος*. Ib. *ὁ δὲ πάγκακος ὡς τὰ πολλὰ ὢν ἄσωτος μάλα πένης*. Prot. 334. B: *ἐπεὶ καὶ τὸ ἔλαιον τοῖς μὲν φυτοῖς ἅπασίν ἐστι πάγκακον* cet. Ep. VIII. 354. E. Legg. XI. 928. E: *ἐν παγκάκων ἤθεσιν ἀνθρώπων*.

πάγκαλος, η, ον, *oppido pulcher; perbonus*. Conv. 204. B: *διὰ ταῦτά σοι ... πάγκαλος ἐφαίνετο ὁ Ἔρως*. Legg. III. 686. D. Hipp. mai. 286. A: *πάγκαλος λόγος*. De lege 319. C: (*ὅτι*) *ἡ τέχνη αὕτη παγκάλη ἐστί*. Phaed. 85. E: *ὡς ἡ μὲν ἁρμονία ... πάγκαλόν τι καὶ θεῖόν ἐστιν ἐν τῇ ἡρμοσμένῃ λύρᾳ* cet. Euth. 13. E. Legg. IV. 722. C: *ἐν ταύτῃ παγκάλῃ ἀναπαύλῃ τινὶ γεγόναμεν*. Phaedr. 276. D: *παγκάλην λέγεις παρὰ φαύλην παιδιάν ... τοῦ ἐν λόγοις δυναμένου παίζειν*. Pol. I. 338. A: *ἡγούμενος ἔχειν ἀπόκρισιν παγκάλην*. Gorg. 520. B: *σὺ δὲ ... τὸ μὲν πάγκαλόν τι οἴει εἶναι, τὴν ῥητορικήν* cet. Conv. 183. B: *ὡς πάγκαλόν τι πρᾶγμα διαπραττομένου*. C. Euthyd. 288. C. Critia 121. B: *τότε δὴ μάλιστα πάγκαλοι μακάριοί τε ἐδοξάζοντο εἶναι*. Hipp. mai. 288. C: *πάγκαλαι γὰρ παρ' ἡμῖν ἵπποι γίγνονται*. D. Conv. 216. E: *καί μοι ἔδοξεν οὕτω θεῖα ... καὶ πάγκαλα καὶ θαυμαστὰ* (*τὰ ἐντὸς ἀγάλματα*) *ὥστε* cet.

Phaedr. 269. A: *τῶν παγκάλων τεχνημάτων.* Pol. VII. 540. C: *παγκάλους ... τοὺς ἄρχοντας ... ἀπείργασαι.* Legg. IX. 859. D. Phil. 26. B: *καὶ ἐν ψυχαῖς αὖ πάμπολλα ἕτερα καὶ πάγκαλα (ἐπιλείπω λέγειν).* Hipp. mai. 286. B.

παγκάλως, *perbelle, perbene, praeclare.* Phaedr. 230. C: *ὅτι ... ἱκανὴ πέφυκε κατακλινέντι τὴν κεφαλὴν παγκάλως ἔχειν.* 271. C: *εἰδότες ψυχῆς πέρι παγκάλως.* 274. A: *παγκάλως ἔμοιγε δοκεῖ λέγεσθαι.* Theaet. 160. D: *παγκάλως ἄρα σοι εἴρηται ὅτι* cet. Crat. 395. E. Pol. I. 331. C. Legg. V. 747. E. Epin. 991. D. Apol. 31. D: *καὶ παγκάλως γέ μοι δοκεῖ ἐναντιοῦσθαι.* Euth. 7. A. al.

πάγκαρπος, *ὁ ἡ*, *omnigenus.* Ax. 371. C: *ἔνθα ... ὧραι παγκάρπου γονῆς βρύουσι.*

παγκρατιάζω, *pancratium exerceo.* Gorg. 456. D: *ὅτι ἔμαθε πυκτεύειν τε καὶ παγκρατιάζειν καὶ ἐν ὅπλοις μάχεσθαι.* Charm. 159. C.

παγκρατιαστής, *ὁ*, *pancratiastes* (qui et lucta et pugilatu certat). Pol. I. 338. C: *Πολυδάμας ... ὁ παγκρατιαστής.* Euthyd. 271. C: *ὅ τι εἶεν οἱ παγκρατιασταί.* Legg. VIII. 830. A: *εἰ πύκτας ἢ παγκρατιαστὰς ἐτρέφομεν* cet.

παγκρατιαστικός, *ή*, *όν*, *pancratiastae proprius.* Euthyd. 272. A: *νῦν δὲ τέλος ἐπιτεθείκατον παγκρατιαστικῇ τέχνῃ.*

παγκράτιον, *τό*, *pancratium.* Legg. VIII. 834. A: *τῇ τοῦ παγκρατίου μάχῃ.* VII. 795. B: *ὁ τελέως παγκράτιον ἠσκηκώς.*

πάγος, *ὁ*, *collis.* Ax. 367. A: *τῆς ἐξ Ἀρείου πάγου βουλῆς.* Pol. III. 391. E: *κατ' Ἰδαῖον πάγον* (Hom.).

πάγος, *ὁ*, *frigus glaciale.* Conv. 220. B: *καί ποτε ὄντος πάγου οἵου δεινοτάτου* cet. Tim. 74. C: *τὸν ... περιστάμενον πάγον.*

παγχάλεπος, *ὁ ἡ*, *perdifficilis.* Soph. 236. D: *κατιδεῖν παγχάλεπος (ἀνήρ).* Crat. 409. D: *ἢ τοῦτό τι παγχάλεπον εἶναι (κινδυνεύει).* Phil. 16. C: *χρῆσθαι ... παγχάλεπον.* Legg. II. 669. E. IV. 708. D. Alc. I. 129. A. Polit. 291. C: *καίπερ παγχάλεπον ὄντα ἀφαιρεῖν.* Phaed. 85. C: *ἢ ἀδύνατον εἶναι ἢ παγχάλεπόν τι.* Legg. VIII. 839. D: *ταῦτα εἶναι παγχάλεπα μεῖναι κατὰ νόμον.*

πάθη, *ἡ*, *quod quis patitur, quo afficitur* vel *afflictatur; affectio.* Phil. 32. A: *ἡ παρὰ φύσιν τοῦ πνίγους πάθη.* Legg. V. 728. C: *τιμωρία δέ, ἀδικίας ἀκόλουθος πάθη.* X. 903. B: *ἐπὶ τὸ σμικρότατον ἀεὶ πάθης καὶ πράξεως.* Epin. 983. D: *τὸ δὲ ἀναίτιον πάσης πάθης.* Tim. 80. B: *μίαν ἐξ ὀξείας καὶ βαρείας (φορᾶς) ξυνεκεράσαντο πάθην.* Legg. IX. 865. E: *διὰ τὴν βίαιον πάθην.* 866. B: *εἰς αὐτὸν ... τοῦ παθόντος προστρεπομένου τὴν πάθην.*

πάθημα, *τό*, *quod quis patitur* vel *quo afficitur* (hinc *morbus, affectio, perturbatio*); etiam *quod alicui accidit;* unde

casus, malum, calamitas; etiam *status, conditio*; in univ. *quod fit vel geritur*. Prot. 353. A: εἰ μὴ ἔστι τοῦτο τὸ πάθημα, ἡδονῆς ἡττᾶσθαι. Gorg. 483. B: οὐδὲ γὰρ ἀνδρὸς τοῦτό γ' ἐστὶ τὸ πάθημα, τὸ ἀδικεῖσθαι. Phaed. 79. D: καὶ τοῦτο αὐτῆς (τῆς ψυχῆς) τὸ πάθημα φρόνησις κέκληται. Phil. 52. A: ἔν τισι λογισμοῖς τοῦ παθήματος. Pol. II. 382. B: μίμημά τι τοῦ ἐν τῇ ψυχῇ ... παθήματος. Phaed. 103. A: ᾗ ἀπόλλυται ἐν τούτῳ τῷ παθήματι. Legg. IX. 866. B. Polit. 274. A: ξυνακολουθοῦντα τῷ τοῦ παντὸς παθήματι. Pol. X. 602. D. Gorg. 481. D: οὐκ ἂν ἦν ῥᾴδιον ἐνδείξασθαι τῷ ἑτέρῳ τὸ ἑαυτοῦ πάθημα. Soph. 248. B: πάθημα ἢ ποίημα. D. Alc. I. 109. B: τί ἐγκαλοῦντες ἀλλήλοις πάθημα ἐρχόμεθα ἐπὶ τὸ πολεμεῖν. Soph. 228. C: περὶ δύο παθήματε τούτω. Theaet. 186. C: ὅσα διὰ τοῦ σώματος παθήματα ἐπὶ τὴν ψυχὴν τείνει. Polit. 270. D. Tim. 43. B: τὰ τῶν προςπιπτόντων παθήματα ἑκάστοις. 65. B. Legg. III. 681. D: πάντα εἴδη καὶ παθήματα πολιτειῶν καὶ ἅμα πόλεων. VI. 777. C: ἔργα τε καὶ παθήματα. IX. 859. E. Phaed. 98. A: τροπῶν καὶ τῶν ἄλλων παθημάτων. Parm. 141. D: ἀλλὰ μὴν τῷ γε ἑνὶ τῶν τοιούτων παθημάτων οὐδὲν μετῆν. Phil. 33. D: τῶν περὶ τὸ σῶμα ἡμῶν ἑκάστοτε παθημάτων. Conv. 222. B: ἀπὸ τῶν ἡμετέρων παθημάτων γνόντα εὐλαβηθῆναι. Pol. III. 389. C: περὶ τῶν τοῦ αὐτοῦ σώματος παθημάτων μὴ τἀληθῆ λέγειν. 393. B: περί τε τῶν ἐν Ἰλίῳ ... καὶ ὅλῃ τῇ Ὀδυσσείᾳ παθημάτων. IV. 437. B: εἴτε ποιημάτων εἴτε παθημάτων. 439. D: διὰ παθημάτων τε καὶ νοσημάτων. Tim. 66. C: πᾶν τὸ τοιοῦτον ἴαμα τῶν βιαίων παθημάτων. Ion. 531. C: περὶ τῶν οὐρανίων παθημάτων. Phaed. 94. B: πότερον ξυγχωροῦσαν τοῖς κατὰ τὸ σῶμα παθήμασιν, ἢ καὶ ἐναντιουμένην; Phil. 47. C: τῶν ἐν τοῖς κοινοῖς παθήμασιν αὐτοῦ τοῦ σώματος (ἡδονῶν). Pol. III. 388. D: πολλοὺς ἐπὶ σμικροῖσι παθήμασι θρήνους ἂν ᾄδοι. Legg. III. 687. E. 695. E: παραπλήσια ἀπετέλεσε τοῖς Καμβύσου παθήμασι. IV. 708. B: ἤ τισιν ἄλλοις τοιούτοις παθήμασιν ἀναγκασθείς. VII. 812. C: ἐν τοῖς παθήμασιν ὅταν ψυχὴ γίγνηται. X. 894. C: πᾶσι μὲν ποιήμασι, πᾶσι δὲ παθήμασι (ἐναρμόττουσαν). Phaedr. 271. B: τὰ λόγων τε καὶ ψυχῆς γένη καὶ τὰ τούτων παθήματα. Gorg. 524. B: τό τε σῶμα τὴν φύσιν τὴν αὐτοῦ καὶ τὰ θεραπεύματα καὶ τὰ παθήματα (ἔχει). Polit. 270. E: ταὐτὰ ταῦτα πάσχον παθήματα. Parm. 157. B: ταῦτα δὴ τὰ παθήματα πάντ' ἂν πάσχοι τὸ ἕν, εἰ ἔστιν. Conv. 189. D: τὴν ἀνθρωπίνην φύσιν καὶ τὰ παθήματα αὐτῆς. Pol. VI. 511. D: τέτταρα ταῦτα παθήματα ἐν τῇ ψυχῇ γιγνόμενα λαβέ, νόησιν cet. X. 610. B. Tim. 65. C: ἴδι' ὄντα παθήματα περὶ τὴν γλῶτταν. 88. E: μετρίως σείων τά τε περὶ τὸ σῶμα πλανώμενα παθήματα cet. Ax. 370. C: τὰ τοῦ κόσμου πα-

θήματα. Ep. VII. 342. D· περὶ ποιήματα καὶ παθήματα ξύμπαντα.

παθητικός, ή, όν, *perturbationibus subiectus.* Locr. 102. E: παθητικᾶς (ψυχᾶς) ... ἄγρια πάθεα cet.

πάθος, τό, *quod quis patitur* vel *quo afficitur, affectus, affectio, perturbatio* (tam corporis quam animi); *status, conditio, ratio;* etiam *quod alicui accidit, evenit* (unde *casus, calamitas, sors, malum, poena*); in univ. *quod fit* vel *geritur.* Prot. 352. A: ὅ ἐστιν αὐτοῖς τὸ πάθος, ὅ φασιν ὑπὸ τῶν ἡδονῶν ἡττᾶσθαι. Phaedr. 250. A: ὃ δ' ἔστι τὸ πάθος ἀγνοοῦσι. 252. C: τὸ πάθος τῶν ἐρώντων. Polit. 273. D: μᾶλλον καὶ δυναστεύει τὸ τῆς παλαιᾶς ἀναρμοστίας πάθος. Phil. 15. D: ἔστι τὸ τοιοῦτον ... τῶν λόγων αὐτῶν ἀθάνατόν τι ... πάθος ἐν ἡμῖν. Pol. II. 376. A: ἀλλὰ μὴν κομψόν γε φαίνεται τὸ πάθος αὐτοῦ τῆς φύσεως καὶ ὡς ἀληθῶς φιλόσοφον. IV. 432. D: ἦ μὴν ... βλακικόν γε ἡμῶν τὸ πάθος. IX. 879. D: οὐκοῦν ... παντελῶς τὸ πάθος ἄθλιον —; Tim. 78. E: πᾶν ... τό τ' ἔργον καὶ τὸ π'θος τοῦθ' ἡμῶν τῷ σώματι γέγονεν cet. Legg. VII. 801. B: γελοῖον ... τὸ πάθος ... τοῦτ' ἂν γίγνοιτο εὐχῆς τοιαύτης γενομένης. 811. C: καί μοι ἴσως οὐδὲν θαυμαστὸν πάθος ἐπῆλθε ... μάλα ἡσθῆναι. Phaedr. 251. D: τῇ ἀτοπίᾳ τοῦ πάθους. Polit. 269. B: ταῦτα ... ἔστι μὲν ξύμπαντα ἐκ ταὐτοῦ πάθους. Conv. 191. A: μνημεῖον ... τοῦ παλαιοῦ πάθους. Pol. X. 604. E: ἀλλοτρίου ... πάθους ἡ μίμησις αὐτοῖς γίγνεται. Legg. IX. 876. D: προσάπτειν ἑκάστῳ τῶν ἁμαρτημάτων τὴν ἀξίαν τοῦ πάθους τε καὶ πράξεως. Crat. 419. C: ἣν ἐν τούτῳ τῷ πάθει (ἐν τῇ λύπῃ) ἴσχει τὸ σῶμα. Tim. 43. E. Phaedr. 265. B: τὸ ἐρωτικὸν πάθος ἀπεικάζοντες. Gorg. 480. C: (εἰ) τις ἡμῶν ἴδιόν τι ἔπασχε πάθος ἢ οἱ ἄλλοι. 482. C: ταὐτὸν παθόντος Πώλου πάθος ὅπερ cet. 513. C: πέπονθα δὲ τὸ τῶν πολλῶν πάθος. Soph. 228. E: τὸ ... τῆς πολλῆς καὶ παντοδαπῆς ἀγνοίας πάθος αἶσχος θετέον. 243. C: καὶ κατὰ τὸ ὂν ταὐτὸν τοῦτο πάθος εἰληφότες ἐν τῇ ψυχῇ. 245. C: διὰ τὸ πεπονθέναι τὸ ὑπ' ἐκείνου πάθος. 248. D: ποίημα ἢ πάθος. Polit. 277. D: τὸ περὶ τῆς ἐπιστήμης πάθος ἐν ἡμῖν. Crat. 411. C: αἰτιῶνται δὴ οὐ τὸ ἔνδον τὸ παρὰ σφίσι πάθος αἴτιον εἶναι ταύτης τῆς δόξης. Legg. I. 639. B: ἄν γε πρὸς τῇ τέχνῃ ἔχῃ καὶ τοῦτο τὸ πάθος (*malum*) ὃ λέγεις. VII. 819. D: καὶ αὐτὸς ... τὸ περὶ ταῦτα ἡμῶν πάθος ἐθαύμασα. X. 900. B: εἰς τοῦτο νῦν τὸ πάθος ἐλήλυθας ὥστ' εἶναι μὲν δοκεῖν αὐτούς (τ. θεούς) cet. Apol. 22. C: τοιοῦτόν τί μοι ἐφάνησαν πάθος καὶ οἱ ποιηταὶ πεπονθότες. Alc. I. 118. B: οἷον πάθος πέπονθας! Hipp. min. 363. D: μακάριόν γε ... πάθος πέπονθας εἰ cet. Ep. VII. 351. D. Pol. II. 380. A: τὰ τῆς Νιόβης πάθη ἢ τὰ Πελοπιδῶν. Tim. 52. D: ὅσα τούτοις ἄλλα πάθη ξυνέπεται πάσχουσαν. Legg.

IX. 879. B: *βίαια ... πάνθ' ἡμῖν τὰ προειρημένα πάθη.* Phil. 32. B: *ἐν τούτοις τοῖς πάθεσιν ἑκατέροις.* Pol. X. 606. B: *ἐν τοῖς αὐτοῦ πάθεσι.* Critia 111. B: *ἐν τούτοις τοῖς χρόνοις καὶ πάθεσιν.* Phaedr. 245. E: *ψυχῆς φύσεως πέρι θείας τε καὶ ἀνθρωπίνης ἰδόντα πάθη τε καὶ ἔργα.* Phaed. 96. A: *ἐγὼ οὖν σοι δίειμι περὶ αὐτῶν ... τά γ' ἐμὰ πάθη.* C: *τὰ περὶ τὸν οὐρανόν τε καὶ τὴν γῆν πάθη.* Parm. 129. C: *τἀναντία ταῦτα πάθη πάσχοντα.* Pol. II. 378. A: *τὰ ... τοῦ Κρόνου ἔργα καὶ πάθη ὑπὸ τοῦ υἱέος* cet. X. 606. B: *ἅτε ἀλλότρια πάθη θεωροῦν.* 612. A: *τὰ ἐν τῷ ἀνθρωπίνῳ βίῳ πάθη τε καὶ εἴδη.* Legg. V. 741. C: *τὰ ἐπὶ τούτοις πρέποντα πάσχειν πάθη.* X. 888. C: *τὰ δύο ... πάθη περὶ θεοὺς μεῖναι πολλοῖσι μὲν οὔ* cet. Apol. 41. B: *ἀντιπαραβάλλοντα τὰ ἐμαυτοῦ πάθη πρὸς τὰ ἐκείνων.* Hipp. mai. 285. C: *τὰ οὐράνια πάθη.*

Παιάν, ὁ, *Paean* s. *Apollo.* Critia 108. C: *τὸν Παιᾶνά* (codd. nonn. *Παίωνά*) *τε καὶ τὰς Μούσας ἐπικαλούμενον.* Legg. II. 664. C: *τόν τε Παιᾶνα ἐπικαλούμενος μάρτυρα τῶν λεγομένων ἀληθείας πέρι.*

παιανίζω, ουσ. Ax. 364. B: *ὅτι δεῖ ... εὐθύμως μόνον οὐχὶ παιανίζοντας* (germ. *mit Frohlocken*) *εἰς τὸ χρεὼν ἀπιέναι.*

παίγνιον, τό, *lusus; oblectamentum, ludibrium* (*Spielwerk*). Polit. 288. C: *παίγνιον ... λέγεται.* 289. B. Ax. 368. D: *δήμου παίγνιον.* Legg. I. 644. D: *εἴτε ὡς παίγνιον ἐκείνων εἴτε ὡς σπουδῇ τινὶ ξυνεστηκός.* VII. 803. C: *ἄνθρωπον ... θεοῦ τι παίγνιον εἶναι μεμηχανημένον.* 816. E: *ὅσα ... περὶ γέλωτά ἐστι παίγνια, ἃ δὴ κωμῳδίαν πάντες λέγομεν.* VII. 797. B: *παίζειν τε καὶ εὐθυμεῖσθαι τοῖς αὐτοῖς παιγνίοις ἐᾷ.* 796. B: *Κουρήτων ἐνόπλια παίγνια.*

παιδαγωγία, ἡ, *institutio;* in univ. *rectio.* Pol. VI. 491. E: *κακῆς παιδαγωγίας τυχούσας* (*τὰς ψυχάς*). Tim. 89. D: *ὅτι κάλλιστον καὶ ἄριστον εἰς τὴν παιδαγωγίαν εἶναι.*

παιδαγωγικός, ή, όν, *fovens.* Pol. III. 406. A: *ὅτι τῇ παιδαγωγικῇ τῶν νοσημάτων ταύτῃ τῇ νῦν ἰατρικῇ πρὸ τοῦ Ἀσκληπιάδαι οὐκ ἐχρῶντο.*

παιδαγωγός, ὁ, *praedagogus.* Lys. 208. C: *ἀλλ' ἄρχει τίς σου; Ὅδε παιδαγωγός, ἔφη.* Ib. *ἄγων ... εἰς διδασκάλου.* Conv. 183. C: (*ἐπειδὰν*) *τῷ παιδαγωγῷ ταῦτα προςτεταγμένα ᾖ.* Pol. III. 390. E: *τὸν τοῦ Ἀχιλλέως παιδαγωγὸν Φοίνικα.* Legg. VII. 808. E: *τὸν παιδαγωγὸν καὶ τὸν διδάσκαλον.* Alc. I. 122. B. Lys. 223. A: *οἱ παιδαγωγοὶ ... παρεκάλουν καὶ ἐκέλευον αὐτοὺς οἴκαδ' ἀπιέναι· ἤδη γὰρ ἦν ὀψέ.* Ax. 366. D. Pol. II. 373. C: *παιδαγωγῶν, τιτθῶν, τροφῶν* cet. VIII. 563. A. Legg. VII. 808. D: *οὐδὲ ... παῖδας ἄνευ τινῶν παιδαγωγῶν* (*βιωτέον*). Pol. III. 397. D: *παισί τε καὶ παιδαγωγοῖς.* Legg. III. 700. C. VII. 808. E. Conv. 183. C: *ἐπειδὰν ... παιδαγωγοὺς ἐπιστήσαντες οἱ πα-*

τέρες τοῖς ἐρωμένοις μὴ ἐῶσι διαλέγεσθαι τοῖς ἐρασταῖς. Pol. V. 467. D: τοὺς ἐμπειρίᾳ τε καὶ ἡλικίᾳ ἱκανοὺς ἡγεμόνας τε καὶ παιδαγωγοὺς εἶναι. Alc. I. 121. E: οὓς ἐκεῖνοι βασιλείους παιδαγωγοὺς ὀνομάζουσιν.

παιδαγωγῶ, *instituo*, *moderor*. Legg. X. 897. B: ὀρθὰ καὶ εὐδαίμονα παιδαγωγεῖ πάντα. Theaet. 167. C: ὁ σοφιστὴς τοὺς παιδευομένους οὕτω δυνάμενος παιδαγωγεῖν. Tim. 89. C: διὸ παιδαγωγεῖν δεῖ διαίταις πάντα τὰ τοιαῦτα. D: τὸ ... παιδαγώγησον αὐτό. Legg. I. 641. B: παιδὸς ἑνὸς ἢ καὶ χοροῦ παιδαγωγηθέντος. Ib. συμποσίου ... ὀρθῶς παιδαγωγηθέντος. VI. 752. C: ἀσφάλειαν ... τοῦ μεῖναι τὴν παιδαγωγηθεῖσαν οὕτω πόλιν. **assidue prosequor* vel *sector*. Pol. X. 600. E: αὐτοὶ ἂν ἐπαιδαγώγουν ὅπῃ ᾖεσαν. Alc. I. 135. D: οὐ γάρ ἐστιν ὅπως οὐ παιδαγωγήσω σε ἀπὸ τῆσδε τῆς ἡμέρας, σὺ δ' ὑπ' ἐμοῦ παιδαγωγήσει.

παιδάριον, τό, *puer*. Conv. 207. D: οἷον ἐκ παιδαρίου ὁ αὐτὸς λέγεται, ἕως ἂν πρεσβύτης γένηται. 210. D: παιδαρίου κάλλος.

παιδαριώδης, ὁ ἡ, *puerilis*. Phil. 14. D: παιδαριώδη καὶ ῥᾴδια.

παιδεία, ἡ, *institutio*, *disciplina*; *eruditio*; *humanitas* (*Bildung*). Prot. 327. D: οἷς μήτε παιδεία ἐστὶ μήτε δικαστήρια cet. Conv. 187. D: χρώμενον ὀρθῶς τοῖς πεποιημένοις μέλεσί τε καὶ μέτροις, ὃ δὴ παιδεία ἐκλήθη. Pol. II. 376. E: ἔστι δέ που ἡ μὲν (παιδεία) ἐπὶ σώμασι γυμναστική, ἡ δ' ἐπὶ ψυχῇ μουσική. Legg. I. 641. C: παιδεία ... φέρει καὶ νίκην. II. 659. D: ὡς ἄρα παιδεία μέν ἐσθ' ἡ παίδων ὁλκή τε καὶ ἀγωγὴ πρὸς τὸν ὑπὸ τοῦ νόμου λόγον ὀρθὸν εἰρημένον. Def. 416: παιδεία δύναμις θεραπευτικὴ ψυχῆς. Prot. 338. E: παιδείας μέγιστον μέρος εἶναι περὶ ἐπῶν δεινὸν εἶναι. 343. A: μαθηταὶ ... τῆς Λακεδαιμονίων παιδείας. Gorg. 470. E: παιδείας ὅπως ἔχει καὶ δικαιοσύνης. 485. A: ὅσον παιδείας χάριν. Phaed. 107. D: οὐδὲν γὰρ ἄλλο ἔχουσα εἰς Ἅιδου ἡ ψυχὴ ἔρχεται πλὴν τῆς παιδείας τε καὶ τροφῆς. (Id. Polit. 275. C. Pol. III. 412. B. Legg. IX. 854. E.) Theaet. 145. A: ὅσα παιδείας ἔχεται. Pol. III. 416. C: ὅτι δεῖ αὐτοὺς τῆς ὀρθῆς τυχεῖν παιδείας. Legg. I. 643. C: κεφάλαιον ... παιδείας λέγομεν τὴν ὀρθὴν τροφήν. VII. 822. D: τά γε παιδείας μαθημάτων πέρι νόμιμα. Ep. VII. 328. A: φιλοσοφίας τε καὶ παιδείας. 334. B: διὰ ... ἐλευθέρας παιδείας κοινωνίαν. Prot. 312. B: ἐπὶ παιδείᾳ (ἔμαθες), ὡς τὸν ἰδιώτην καὶ τὸν ἐλεύθερον πρέπει. Pol. II. 383. C: ἐπὶ παιδείᾳ ... τῶν νέων. IV. ad fin. τροφῇ τε καὶ παιδείᾳ χρησάμενος. Legg. V. 741. A: νόθῃ παιδείᾳ πεπαιδευμένους. Phil. 55. D: περὶ παιδείαν καὶ τροφήν. Pol. VI. 492. C: ποίαν ἂν παιδείαν ἰδιωτικὴν ἀνθέξειν cet. 498. B: παῖδας (δεῖ) μειρακιώδη παιδείαν καὶ φιλοσοφίαν μεταχειρίζεσθαι. X. 606. E: πρὸς διοίκησίν τε καὶ παιδείαν τῶν ἀνθρωπίνων

πραγμάτων. Legg. I. 643. E: τὴν ... πρὸς ἀρετὴν ἐκ παίδων παιδείαν. II. 653. B: παιδείαν ... λέγω τὴν παραγιγνομένην πρῶτον παισὶν ἀρετήν. 656. C: τὴν περὶ τὰς Μούσας παιδείαν τε καὶ παιδιάν. (Cf. VII. 803. D. VIII. 832. D.) Ep. VII. 345. B: πρὸς παιδείαν ψυχῆς ἐλευθέρας. Legg. II. 653. C: τούτων ... τῶν ὀρθῶς τεθραμμένων ἡδονῶν καὶ λυπῶν παιδειῶν οὐσῶν. III. 695. E: ἅτε τῶν αὐτῶν παιδειῶν γενόμενος ἔκγονος. Epin. 988. A: παιδείαις τε καὶ ἐκ Δελφῶν μαντείαις χρωμένους. Legg. VII. 804. D: ἐῶντα τὰς παιδείας.

παίδειος, ὁ ἡ, *puerilis*. Legg. V. 747. B: ἓν οὐδὲν ... παίδειον μάθημα. VII. 810. A: ἄτιμος τῶν παιδείων ἔστω τιμῶν. I. 643. B: τὸν μὲν οἰκοδομοῦντά τε τῶν παιδείων οἰκοδομημάτων παίζειν χρή cet.

παιδεραστής, ὁ, *puerorum amator*. Conv. 192. B: ὁ τοιοῦτος παιδεραστής τε καὶ φιλεραστὴς γίγνεται. Id. ὁ παιδεραστὴς καὶ ἄλλος πᾶς.

παιδεραστία, ἡ, *puerorum amor*. Conv. 181. C: ἐν αὐτῇ τῇ παιδεραστίᾳ. 184. C: τόν τε περὶ τὴν παιδεραστίαν καὶ τὸν περὶ τὴν φιλοσοφίαν τε καὶ τὴν ἄλλην ἀρετήν (νόμον).

παιδεραστῶ, *pueros amo*. Conv. 192. A: ἐπειδὰν δὲ ἀνδρωθῶσι, παιδεραστοῦσι. Phaedr. 249. A: πλὴν ἡ τοῦ φιλοσοφήσαντος ἀδόλως ἢ παιδεραστήσαντος μετὰ φιλοσοφίας (ψυχή).

παίδευμα, τό, *institutio*, *disciplina*. Legg. V. 747. C: καλὰ τὰ παιδεύματα καὶ προσήκοντα γίγνοιτ' ἄν. VIII. 834. D: ἐξ αὐτῶν τῶν ἔμπροσθεν παιδευμάτων εἰς ἔθος ἰόντων. Sensu qui dicitur concreto *qui institutus est*, *alumnus*. Tim. 24. D: γεννήματα καὶ παιδεύματα θεῶν ὄντας.

παίδευσις, ἡ, *institutio*, *disciplina*; *doctrina* vel *eruditio*. Pol. IV. 424. A: τροφὴ ... καὶ παίδευσις χρηστὴ σωζομένη φύσεις ἀγαθὰς ἐμποιεῖ. Legg. II. 672. E: ὅλη μέν που χορεία ὅλη παίδευσις ἦν ἡμῖν. Def. 416: παίδευσις παιδείας παράδοσις. Prot. 349. A: παιδεύσεως καὶ ἀρετῆς διδάσκαλον. Pol. VI. 496. A. Legg. XI. 936. A: τῷ τῆς παιδεύσεως ὅλης ἐπιμελητῇ τῶν νέων. Menex. 234. A: ὅτι παιδεύσεως καὶ φιλοσοφίας ἐπὶ τέλει ἡγεῖ εἶναι. Prot. 342. D: ἄνδρες ἐπὶ παιδεύσει μέγα φρονοῦντες. Phaedr. 241. C: πολὺ δὲ βλαβερωτάτῳ πρὸς τὴν τῆς ψυχῆς παίδευσιν. Conv. 184. E: ὁ δὲ δεόμενος εἰς παίδευσιν καὶ τὴν ἄλλην σοφίαν κτᾶσθαι. Tim. 53. C: ἐπεὶ μετέχετε τῶν κατὰ παίδευσιν ὁδῶν. Critia 110. C: πάντα εἰς τροφὴν καὶ παίδευσιν τὰ προσήκοντα ἔχον. Hipp. mai. 284. C: ἀλλὰ ξενικὴν παίδευσιν οὐ νόμιμον αὐτοῖς παιδεύειν. E. Legg. XI. 926. E: τροφαὶ καὶ παιδεύσεις.

παιδευτής, ὁ, *praeceptor*. Pol. VI. 493. C: τοιοῦτος ... ὢν ... οὐκ ἄτοπος ἄν σοι δοκεῖ (al. δοκοῖ) εἶναι παι-

δευτής; Legg. VII. 812. E. VIII. 835. A: (ὑπὸ) τοῦ παιδευτοῦ τῶν νέων. VII. 811. D: τῷ ... νομοφύλακί τε καὶ παιδευτῇ. XII. 964. C: παιδευτὴν νέων. Pol. VI. 492. D: οὗτοι οἱ παιδευταί τε καὶ σοφισταί. Polit. 308. E: πᾶσι τοῖς κατὰ νόμον παιδευταῖς καὶ τροφεῦσι.

παιδευτικός, ή, όν, ad institutionem pertinens; fem. *instituendi ars*. Soph. 231. B: διδασκαλικῆς ... παιδευτική (ἔστω), τῆς δὲ παιδευτικῆς cet. Locr. 103. E: ταὶ ... παιδευτικαὶ τᾶν ψυχᾶν.

παιδευτός, ή, όν, institutione comparandus. Prot. 324. B: παιδευτὴν εἶναι ἀρετήν.

παιδεύω, instituo, doceo; erudio, excolo. Hipp. min. 364. D: εἰ ἄλλους ... αὐτὰ ταῦτα παιδεύω. Pol. VII. 534. D: οὓς τῷ λόγῳ τρέφεις τε καὶ παιδεύεις. Legg. IX. 857. D. Prot. 320. A: οὔτε αὐτὸς παιδεύει οὔτε τῳ ἄλλῳ παραδίδωσιν. Phaedr. 245. A: τοὺς ἐπιγιγνομένους παιδεύει. Legg. IX. 857. E: παιδεύει τοὺς πολίτας, ἀλλ' οὐ νομοθετεῖ. Gorg. 520. B: ὃ αὐτοὶ παιδεύουσιν. Legg. II. 659. C: ὥστε αὐτοὶ αὑτοὺς οἱ θεαταὶ παιδεύουσιν. Eryx. 402. D: οἵτινες μουσικὴν παιδεύουσιν ἢ γράμματα cet. Pol. VII. 536. B: ἐὰν ... ἀρτιμελεῖς ... παιδεύωμεν. Prot. 317. B: ὁμολογῶ ... παιδεύειν ἀνθρώπους. Gorg. 519. E: τῶν φασκόντων παιδεύειν ἀνθρώπους εἰς ἀρετήν. Polit. 308. E: ταῦτα ... μόνα παρακελεύεσθαι παιδεύειν. Pol. III. 398. B: ὅτε τοὺς στρατιώτας ἐπεχειροῦμεν παιδεύειν. VI. 493. A: μὴ ἄλλα παιδεύειν ἢ ταῦτα τὰ τῶν πολλῶν δόγματα. Legg. VII. 811. E. Apol. 24. E: τοὺς νέους παιδεύειν ... καὶ βελτίους ποιεῖν. Legg. V. 730. B: ἔπαινος παιδεύων καὶ ψόγος. Pol. VII. 522. A: ἔθεσι παιδεύουσα τοὺς φύλακας. Menex. 248. D: τοὺς μὲν παιδεύοντες κοσμίως. Pol. III. 414. D: ἃ ἡμεῖς αὐτοὺς ἐτρέφομέν τε καὶ ἐπαιδεύομεν. IV. 430. A: ὅτε ... ἐπαιδεύομεν μουσικῇ καὶ γυμναστικῇ. X. 606. E: ὡς τὴν Ἑλλάδα πεπαίδευκεν οὗτος ὁ ποιητής. Men. 96. D: πεπαιδευκέναι. Tim. 23. D: ἣ τήν τε ὑμετέραν καὶ τήνδ' ἔλαχε καὶ ἔθρεψε καὶ ἐπαίδευσε. Legg. VII. 809. A: τοῦτον δὲ αὐτὸν ... πῶς ἂν ἡμῖν ὁ νόμος αὐτὸς παιδεύσειεν ἱκανῶς; Hipp. mai. 283. D: μῶν μὴ Λακεδαιμόνιοι σοῦ βέλτιον ἂν παιδεύσειαν τοὺς αὑτῶν παῖδας; Crit. 54. A: ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς. Lach. 186. C: παιδεῦσαι ἄνθρωπον. Euthyd. 306. E. Crit. 51. C: ἐκθρέψαντες, παιδεύσαντες cet. Pol. VII. 540. B: καὶ οὕτως ἄλλους ἀεὶ παιδεύσαντας τοιούτους. Crit. 54. A: παιδεύσεις. Euthyd. 272. D: οἶδ' ὅτι καὶ ἡμᾶς παιδεύσουσιν. Alc. II. 150. D: τίς ὁ παιδεύσων; Ep. XI. 359. B. Epin. 973. D: τὸ τρέφεσθαι καὶ παιδεύεσθαι. Theag. 130. E. Pol. III. 409. D: φύσεως παιδευομένης. IV. 423. E: εὖ παιδευόμενοι. Theaet. 167. C: τοὺς παιδευομένους οὕτω δυνάμενος παιδαγωγεῖν. Legg. III. 695. A: τὴν πατρῴαν οὐ παιδευομένους τέχνην. Pol.

VII. 521. D: γυμναστικῇ ... καὶ μουσικῇ ἔν γε τῷ πρόσθεν ἐπαιδεύοντο ἡμῖν. Gorg. 487. B: πεπαίδευσαι ... γὰρ ἱκανῶς. Phil. 17. B: ἐν τούτοις οἶσπερ καὶ πεπαίδευσαι. Prot. 342. D: (ὅτι) Λακεδαιμόνιοι πρὸς φιλοσοφίαν καὶ λόγους ἄριστα πεπαίδευνται. Legg. XI. 920. A: ὅσοι γενέσει καὶ τροφαῖς εὖ πεπαίδευνται, Theag. 122. E: ἅπερ ἐνθάδε οἱ ἄλλοι πεπαίδευνται. Gorg. 471. D: ὅτι μοι δοκεῖς πρὸς τὴν ῥητορικὴν πεπαιδεῦσθαι. Crat. 384. B: ἣν ἀκούσαντι ὑπάρχει περὶ τοῦτο πεπαιδεῦσθαι. Pol. VI. 487. C. 492. E: ἦθος πρὸς ἀρετὴν ... πεπαιδευμένον. X. 606. A. Prot. 342. E: τελέως πεπαιδευμένου ἐστὶν ἀνθρώπου. Legg. II. 654. D: ἴσμεν καὶ τὸν πεπαιδευμένον τε καὶ ἀπαίδευτον ὀρθῶς. Prot. 347. D: ὅπου δὲ καλοὶ κἀγαθοὶ συμπόται πεπαιδευμένοι (v. καὶ πεπαιδ.) εἰσίν cet. Pol. VIII. 548. B. Legg. I. 644. A. II. 658. D: αἵ τε πεπαιδευμέναι τῶν γυναικῶν cet. Tim. 27. B: παρὰ σοῦ ... πεπαιδευμένους διαφερόντως αὐτῶν τινάς. Legg. V. 741. A: νόθῃ παιδείᾳ πεπαιδευμένους. De lege 320. B: ἐπεπαίδευτο ... οὐχ ὅλην τὴν βασιλικὴν τέχνην. Crit. 50. D: ἐν ᾗ (παιδείᾳ) καὶ σὺ ἐπαιδεύθης. E. Menex. 236. A: ὅστις ἐμοῦ κάκιον ἐπαιδεύθη. Pol. VII. 526. B: ἂν ἐν τούτῳ παιδευθῶσι. Legg. XII. 969. B. Alc. I. 118. B: πρὶν παιδευθῆναι. 124. C. Menex. 241. C. Legg. III. 695. D: τρυφώσῃ ... παιδευθεὶς παιδείᾳ. Menex. 236. A: μουσικὴν ὑπὸ Λάμπρου παιδευθείς. Ep. III. 319. C: οὐκοῦν παιδευθέντα ... γεωμετρεῖν; Pol. IV. 442. A: τούτω ... οὕτω τραφέντε ... καὶ παιδευθέντε. Legg. I. 641. B: παιδευθέντες ... εὖ. Ib. εἰ δ' ὅλως ἐρωτᾷς παιδείαν τῶν παιδευθέντων. Theaet. 167. C: ἄξιος πολλῶν χρημάτων τοῖς παιδευθεῖσι. Pol. IV. 431. C. V. 456. D: τῇ σκυτικῇ παιδευθέντας. Legg. III. 695. A. II. 376. C: παιδευθήσονται τίνα τρόπον; De lege 319. C: παιδευθησόμενον. De lucri cup. 228. E: (ἵνα) φοιτῷεν ἐκ τῶν ἀγρῶν καὶ ἐπὶ τὰ λοιπὰ παιδευθησόμενοι. Ep. XI. 359. B. Med. Pol. VIII. 546. B: οὓς ἡγεμόνας πόλεως ἐπαιδεύσασθε. Menex. 238. B: τέχνας πρώτους παιδευσάμενοι. **institui curo* (act. et med.). Crit. 50. D: παραγγέλλοντες τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν. Prot. 320. A: ἐν Ἀρίφρονος ἐπαίδευε. 319. E: ἃ μὲν διδασκάλων εἴχετο, καλῶς καὶ εὖ ἐπαίδευσεν cet. Theag. 122. E: οὐκ ἐδιδάξατό σε ὁ πατὴρ καὶ ἐπαίδευσεν —; Men. 93. E: ἆρ' οὖν ταῦτα μὲν οἰόμεθα βούλεσθαι αὐτὸν τὸν αὑτοῦ υἱὸν παιδεῦσαι —; D: ἃ ἐκεῖνος αὐτὸν ἐπαιδεύσατο. — Verb. Pol. II. 376. E: παιδευτέον δ' ἐν ἀμφοτέροις. III. 402. C: οὓς φαμεν ἡμῖν παιδευτέον εἶναι τοὺς φύλακας. Legg. VII. 804. D. Pol. VII. 526. C: ἀλλ' οἱ ἄριστοι τὰς φύσεις παιδευτέοι ἐν αὐτῷ.

παιδιά, ἡ, *ludus; iocus; oblectatio*. Polit. 307. D: παιδιὰ (codd. παιδεία) τοίνυν αὕτη γέ τις ἡ διαφορὰ τούτων ἐστὶ τῶν εἰδῶν. Phil. 30. E: ἀνάπαυλα ... τῆς σπουδῆς ...

γίγνεται ἐνίοτε ἡ παιδιά. Legg. III. 671. E. VI. 769. A: ἡ πρεσβυτῶν ἔμφρων παιδιά. Epin. 975. D: παιδιά (codd. παιδία) τις ἂν λείποιτο ... οὐδαμῇ σπουδαία. Crit. 46. D: ἦν δὲ παιδιὰ καὶ φλυαρία ὡς ἀληθῶς. Euthyd. 278. B: ταῦτα δὴ τῶν μαθημάτων παιδιά ἐστι. Phaedr. 276. B: παιδιᾶς τε καὶ ἑορτῆς χάριν. Polit. 268. B: παιδιᾶς καὶ μουσικῆς. Phil. 19. D: ἡμεῖς σοι μετὰ παιδιᾶς ἠπειλήσαμεν ὡς cet. Conv. 197. E: τὰ μὲν παιδιᾶς, τὰ δὲ σπουδῆς μετρίας ... μετέχων. Pol. II. 364. E: διὰ θυσιῶν καὶ παιδιᾶς ἡδονῶν (*per ludicras oblectationes*). IV. 424. D: ὡς ἐν παιδιᾶς γε μέρει cet. Critia 115. B: παιδιᾶς ... ἕνεκα καὶ ἡδονῆς. Legg. II. 656. B: ὡς ἐν παιδιᾶς μοίρᾳ. VI. 761. D: μετὰ παιδιᾶς οὐδαμῇ ἀχαρίστου. Phaedr. 265. C: ἐμοὶ μὲν φαίνεται τὰ μὲν ἄλλα τῷ ὄντι παιδιᾷ πεπαῖσθαι cet. Polit. 308. D: ὅτι παιδιᾷ πρῶτον βασανιεῖ. Crat. 406. C: Διδοίνυσος ἐν παιδιᾷ καλούμενος. Pol. VII. 539. B: ὅτι ... ὡς παιδιᾷ αὐτοῖς καταχρῶνται. Legg. II. 657. C: τὴν τῇ μουσικῇ καὶ τῇ παιδιᾷ μετὰ χορείας χρείαν. VII. 796. B: τῇ τῆς χορείας παιδιᾷ. Ep. VI. 323. C: τῇ τῆς σπουδῆς ἀδελφῇ παιδιᾷ (v. παιδείᾳ). Phaedr. 277. E: ὁ ... παιδιάν τε ἡγούμενος πολλὴν ἀναγκαῖον εἶναι. Soph. 234. A: παιδιὰν λέγεις τινά. Parm. 137. B: ἐπειδήπερ δοκεῖ πραγματειώδη παιδιὰν παίζειν. Pol. X. 602. B: ἀλλ' εἶναι παιδιάν τινα καὶ οὐ σπουδὴν τὴν μίμησιν. Tim. 59. D: μέτριον ἂν ἐν τῷ βίῳ παιδιὰν καὶ φρόνιμον ποιοῖτο. Legg. II. 656. C: τὴν περὶ τὰς Μούσας παιδείαν τε καὶ παιδιάν. III. 673. D: χορείαν καὶ παιδιάν. II. 659. E: παιδιαί τε καὶ ᾠδαὶ καλεῖσθαι καὶ πράττεσθαι. Prot. 347. D: ἄνευ τῶν λήρων τε καὶ παιδιῶν τούτων. Legg. I. 635. B: τῶν μεγίστων ἡδονῶν καὶ παιδιῶν ἐπέταξεν ἀπέχεσθαι. VII. 793. E. Phaedr. 276. D: ὅταν ἄλλοι παιδιαῖς ἄλλαις χρῶνται. Legg. I. 647. D: ἔν τε παιδιαῖς καὶ ἐν σπουδαῖς. VII. 798. C: τοὺς παῖδας τοὺς ἐν ταῖς παιδιαῖς νεωτερίζοντας. V. 732. D: κατά τε παιδιὰς καὶ σπουδάς. VI. 771. E: τὰς παιδιὰς ποιεῖσθαι. 803. C: παίζοντα ὅτι καλλίστας παιδιάς. VIII. 829. B: καί τινας ἀεὶ παιδιὰς μηχανᾶσθαι καλὰς ἅμα θυσίαις. X. 889. D: παιδιάς (v. παιδείας) τινας ἀληθείας οὐ σφόδρα μετεχούσας.

παιδία, ἡ, *pueritia* s. *puerilis aetas*. Polit. 268. E: καθάπερ οἱ παῖδες· πάντως οὐ πολλὰ ἐκφεύγεις παιδίας (sic duo Parr. et unus Vind. pro παιδιᾶς) ἔτη. Legg. VII. 808. E: παιδίας (Ald. Bass. c. codd. aliquot παιδιᾶς) καὶ νηπιότητος ἕνεκα. IX. 864. D: ἢ γήρᾳ ὑπερμέτρῳ ξυνεχόμενος ἢ παιδίᾳ (*puerili imprudentia*. Ald. Bass. cum Flor. a. παιδείᾳ) χρώμενος.

παιδικά, τά, *amatus*, *dilectus*, *deliciae*. (quod tam in uno quam in pluribus, etiam in re, dicitur). Prot. 315. E: οὐκ ἂν θαυμάζοιμι, εἰ παιδικὰ Παυσανίου τυγχάνει ὤν.

Gorg. 481. D: ὁπόσ' ἂν φῇ σου τὰ παιδικά. Phaed. 73. D. Conv. 178. C. Pol. III. 402. E. De lege 318. B: τὰ παιδικὰ αὐτοῦ Ὄλυμπος ὁ Φρύξ. Phaedr. 236. B: ὅτι σου τῶν παιδικῶν ἐπελαβόμην. Gorg. 481. E: τοὺς ... τῶν παιδικῶν βουλεύμασί τε καὶ λόγοις. Conv. 178. E: στρατόπεδον ἐραστῶν τε καὶ παιδικῶν. Pol. III. 403. B: ἅπτεσθαι ὥσπερ υἱέος παιδικῶν ἐραστήν. Lys. 205. E: ὅτι τοιούτων παιδικῶν ἔτυχες. Phaedr. 279. B: ταῦτα ... ἐγὼ ... ὡς ἐμοῖς παιδικοῖς Ἰσοκράτει ἐξαγγελῶ. Conv. 217. B. Pol. III. 403. B: ἐραστῇ τε καὶ παιδικοῖς ἐρῶσί τε καὶ ἐρωμένοις. Phaedr. 239. A: οὔτε δὴ κρείττω οὔτε ἰσούμενον ἑκὼν ἐραστὴς παιδικὰ ἀνέξεται. B. 240. A: ἄγαμον ... ἄοικον ὅτι πλεῖστον χρόνον παιδικὰ ἐραστὴς εὔξαιτ' ἂν γενέσθαι. Gorg. 482. A: εἰ μή τις παύσει τὰ σὰ παιδικὰ τούτων τῶν λόγων. Ib. τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά, παῦσον ταῦτα λέγουσαν. Parm. 127. B: καὶ λέγεσθαι αὐτὸν (τὸν Ζήνωνα) παιδικὰ τοῦ Παρμενίδου γεγονέναι. Phil. 53. D: παιδικά που καλὰ κἀγαθὰ τεθεωρήκαμεν ἅμα καὶ ἐραστὰς ἀνδρείους αὐτῶν. Conv. 211. D. Lys. 204. D.

παιδικός, ή, όν, *puerilis*. Legg. II. 664. C: ὁ Μουσῶν χορὸς ὁ παιδικός. Pol. V. 451. A: παιδικὸν γὰρ τοῦτό γε. Tim. 26. B: ἣν ... μετὰ πολλῆς ἡδονῆς καὶ παιδικῆς τότε ἀκουόμενα. Epin. 974. A: ὅστις μὴ τυγχάνει παιδικῆς δόξης μεστὸς ὤν. Pol. X. 608. A: εἰς τὸν παιδικόν τε καὶ τὸν τῶν πολλῶν ἔρωτα. Legg. II. 653. A: λέγω ... τῶν παίδων παιδικὴν εἶναι πρώτην αἴσθησιν ἡδονὴν καὶ λύπην. Theaet. 169. C: μή που παιδικόν τι λάθωμεν εἶδος τῶν λόγων ποιούμενοι. Legg. VIII. 833. C: ἓν μὲν (ἄθλημα) παιδικόν. Ax. 367. A: παιδικὰ ... φόβητρα. **iocosus*. Crat. 406. C: τὸν ... παιδικὸν (τρόπον τῶν ὀνομάτων) οὐδὲν κωλύει διελθεῖν. Phil. 49. A: τὸν παιδικὸν ... φθόνον.

παιδικῶς, *pueriliter* s. *puerorum modo*. Lys. 211. A: μάλα παιδικῶς καὶ φιλικῶς ... ἔφη. **iocose*. Crat. 406. C: ἀλλ' ἔστι γὰρ καὶ σπουδαίως εἰρημένος ὁ τρόπος τῶν ὀνομάτων τούτοις τοῖς θεοῖς καὶ παιδικῶς.

παιδίον, τό, *puerulus*; etiam in univ. *liberi*. Theaet. 166. A: παιδίον τι ἐρωτηθέν. Gorg. 485. B: ὅταν ... παιδίον ἴδω ... ψελλιζόμενον καὶ παῖζον. Phaed. 60. A: ἔχουσάν τε τὸ παιδίον αὐτοῦ cet. Theaet. 160. E: φῶμεν τοῦτο σὸν μὲν εἶναι νεογενὲς παιδίον —; 171. E: μὴ πᾶν γύναιον καὶ παιδίον καὶ θηρίον δὲ ἱκανὸν εἶναι ἰᾶσθαι αὐτό. Crat. 392. C: τὸ παιδίον τὸ τοῦ Ἕκτορος. Conv. 203. B: ἡ ... Πενία, ἐπιβουλεύουσα ... παιδίον ποιήσασθαι ἐκ τοῦ Πόρου. Phaed. 116. B: ἠνέχθη παρ' αὐτὸν τὰ παιδία (δύο γὰρ αὐτῷ υἱεῖς σμικροὶ ἦσαν, εἷς δὲ μέγας). Legg. II. 658. C: εἰ ... τὰ πάνυ σμικρὰ κρίνοι παιδία. Apol. 34. D: εἷς μὲν μειράκιον ἤδη, δύο δὲ παιδία. Lys. 213. A: τὰ νεωστὶ γεγονότα παιδία. Euthyd. 291. B: ὥσπερ τὰ παιδία τὰ τοὺς

κορυδοὺς διώκοντα. Theaet. 197. E: παιδίων ... ὄντων. Legg. X. 910: ἀσεβήσας μὴ παιδίων, ἀλλ᾽ ἀνδρῶν ἀσέβημα ἀνοσίων. Gorg. 521. E: ὡς ἐν παιδίοις ἰατρὸς ἂν κρίνοιτο. Pol. II. 377. A: ὅτι πρῶτον τοῖς παιδίοις μύθους λέγομεν. IV. 441. A. Theaet. 151. C: ὥσπερ αἱ πρωτοτόκοι περὶ τὰ παιδία. Pol. II. 381. E: μηδ᾽ αὖ ... αἱ μητέρες τὰ παιδία ἐκδειματούντων. V. 467. D. Legg. VII. 789. E. Apol. 34. C: παιδία ... αὐτοῦ ἀναβιβασάμενος.

παιδογονία, ἡ, *liberorum procreatio*. Conv. 208. E: διὰ παιδογονίας ἀθανασίαν ... αὑτοῖς ... πορίζόμενοι. Legg. VI. 779. D. VIII. 838. E: χρῆσθαι τῇ τῆς παιδογονίας συνουσίᾳ. VIII. 840. D. Pol. VI. 502. D: παιδογονίαν.

παιδοποίησις, ἡ, *liberorum procreatio*. Legg. XII. 947. D: ὅσαι τ᾽ ἂν γυναῖκες τῆς παιδοποιήσεως ἀπηλλαγμέναι τυγχάνωσι.

παιδοποιία, ἡ, *liberorum procreatio*. Legg. VI. 784. B: ἡ ... παιδοποιία ... δεκέτις ἔστω. Pol. IV. 423. E: γάμων καὶ παιδοποιίας. V. 449. D. Tim. 18. C. 91. C: ζῶον ἐπιθυμητικὸν ἐνὸν τῆς παιδοποιίας. Legg. VI. 183. E: προσεχέτω ... ὁ νυμφίος τῇ τε νύμφῃ καὶ τῇ παιδοποιίᾳ τὸν νοῦν. Theag. 121. C: ἡ τοῦ υἱέος τουτουΐ, εἴτε φυτείαν εἴτε παιδοποιίαν δεῖ αὐτὴν ὀνομάζειν cet. Pol. V. 459. A: τοῖς τούτων γάμοις τε καὶ παιδοποιίαις. D. Conv. 192. A: πρὸς γάμους καὶ παιδοποιίας οὐ προσέχουσι τὸν νοῦν φύσει.

παιδοποιοῦμαι, *liberos procreo*. Legg. VI. 784. A: τῶν παιδοποιουμένων. B. E: παιδοποιουμένοις ἔτι. IX. 868. D: μήποτ᾽ ἔτι κοινῇ παιδοποιήσασθαι. Pol. V. 449. D: πῶς παιδοποιήσονται.

παιδοσπορῶ, *genero*, et in univ. *corpus misceo*. Phaedr. 249. E: βαίνειν ἐπιχειρεῖ καὶ παιδοσπορεῖν.

παιδοτρίβης, ὁ, *palaestrae magister*. Gorg. 452. A: παιδοτρίβης καὶ χρηματιστής. Theaet. 178. D. Pol. III. 406. A. Crit. 47. B: ὃς ἂν τυγχάνῃ ἰατρὸς ἢ παιδοτρίβης ὤν. Prot. 312. B: οἵαπερ ἡ παρὰ τοῦ γραμματιστοῦ ἐγένετο ... καὶ παιδοτρίβου (μάθησις). 326. B: εἰς παιδοτρίβου πέμπουσιν. Lach. 184. E: ὅστις τυγχάνει ὑπὸ παιδοτρίβῃ ἀγαθῷ πεπαιδευμένος καὶ ἠσκηκώς. Gorg. 520. C: οἷον ταχὺς γενόμενος διὰ παιδοτρίβην. Pol. III. 389. C. Riv. 134. E. Gorg. 504. A: οἱ περὶ τὸ σῶμα παιδοτρίβαι τε καὶ ἰατροί. De virt. 378. E. Alc. I. 131. A: τῶν παιδοτριβῶν. Gorg. 456. E: τοὺς παιδοτρίβας καὶ τοὺς ἐν τοῖς ὅπλοις διδάσκοντας μάχεσθαι.

παιδοτροφία, ἡ, *liberorum educatio*. Pol. V. 465. C: ἐν παιδοτροφίᾳ (al. ἐν παιδοτροφίαις). Legg. II. 666. E: πάντα προσήκοντα ἀποδιδοὺς τῇ παιδοτροφίᾳ. VII. 806. A: παιδοτροφίας.

παιδουργία, ἡ, *liberorum procreatio*. Legg. VI. 775. C: δεῖ μὴ τῶν σωμάτων διακεχυμένων ὑπὸ μέθης γίγνεσθαι τὴν παιδουργίαν.

ποικιλία, *ἡ*, *varietas*. Pol. III. 404. E: *οὐκοῦν ἐκεῖ ... ἀκολασίαν ἡ ποικιλία ἐνέτικτεν —*; X. 611. B: *ὥστε πολλῆς ποικιλίας ... γέμειν* cet. Phaed. 110. D: *στίλβοντα ἐν τῇ τῶν ἄλλων χρωμάτων ποικιλίᾳ*. Pol. VII. 529. D: *τῇ περὶ τὸν οὐρανὸν ποικιλίᾳ*. III. 404. D: *Σικελικὴν ποικιλίαν ὄψων*. Tim. 57. D: *διὸ ... τὴν ποικιλίαν ἐστὶν ἄπειρα*. Legg. II. 665. C: *πάντως παρεχόμενα ποικιλίαν*. VII. 812. D: *τὴν ... ἑτεροφωνίαν καὶ ποικιλίαν τῆς λύρας*. Tim. 50. D: *ποικίλου πάσας ποικιλίας*. **ars acu pingendi*. Pol. III. 401. A: *πλήρης ... ὑφαντικὴ καὶ ποικιλία καὶ οἰκοδομία* cet. II. 373. A: *τήν τε ζωγραφίαν κινητέον καὶ τὴν ποικιλίαν*.

ποικίλλω, *vario; varietate distinguo* et simpl. *distinguo*. Crat. 404. A: *ὅτι ποικίλλει ἰὼν τὰ γιγνόμενα ἐκ τῆς γῆς*. Tim. 87. A: *ποικίλλει ... εἴδη δυςκολίας καὶ δυςθυμίας παντοδαπά*. Crat. 394. A: *ποικίλλειν δὲ ἔξεστι ταῖς συλλαβαῖς*. Epin. 977. B: *ποικίλλων αὐτόν*. Menex. 235. A: *κάλλιστά πως τοῖς ὀνόμασι ποικίλλοντες*. Legg. XI. 927. E: *ποικίλλοντας ἐπιτηδεύμασιν ἰδίοις τὸν τῶν ὀρφανῶν βίον*. V. 747. A: *ὅσα ... αὐτοὶ ἐν αὑτοῖς ποικίλλονται* (*οἱ ἀριθμοί*). Tim. 82. E: *αἷμα ... χρώμασι καὶ πικρότησι ποικιλλόμενον*. Pol. VII. 529. C: *ἐπείπερ ἐν ὁρατῷ πεποίκιλται*. VIII. 557. C: *πᾶσιν ἤθεσι πεποικιλμένη* (*πολιτεία*). Ib. *ὥσπερ ἱμάτιον ποικίλον πᾶσιν ἄνθεσι πεποικιλμένον*. Tim. 40. A: *κόσμιον ... πεποικιλμένον*. Critia 116. D: *χρυσῷ ... πεποικιλμένην*. Crat. 394. A: *χρώμασιν ἢ ὀσμαῖς πεποικιλμένα* (*τὰ τῶν ἰατρῶν φάρμακα*). Tim. 61. C: *τὰ ... σχήμασι κοινωνίαις τε καὶ μεταλλαγαῖς εἰς ἄλληλα πεποικιλμένα εἴδη*. 39. D: *πεποικιλμένας ... θαυμαστῶς* (*τὰς πλάνας*). **depingo*. Pol. II. 378. C: *πολλοῦ γε δεῖ γιγαντομαχίας τε μυθολογητέον αὐτοῖς καὶ ποικιλτέον* cet. **artificiose*, h. e. *obscure* vel *ambigue* (non *clare* ac *simpliciter*) *loquor*. Conv. 218. C: *ἔδοξέ μοι χρῆναι μηδὲν ποικίλλειν πρὸς αὐτόν, ἀλλ' ἐλευθέρως εἰπεῖν ἅ μοι ἐδόκει*. Legg. IX. 863. E: *τό τε δίκαιον καὶ τὸ ἄδικον ... σαφῶς ἂν διορισαίμην οὐδὲν ποικίλλων*.

ποίκιλμα, *τό*, *varietas*. Tim. 67. A: *δύ' οὖν ταῦτα ἀνώνυμα τὰ τούτων ποικίλματα γέγονεν*. Legg. V. 747. A: *ὅσα ἐν μήκεσι καὶ ἐν βάθεσι ποικίλματα*. Tim. 67. C: *συχνὰ ἐν ἑαυτῷ ποικίλματα κεκτημένον*. Legg. VII. 812. E: *παντοδαπὰ ποικίλματα προςαρμόττοντας τοῖσι φθόγγοις τῆς λύρας*. **pictura*, h. e. figura vel imago tam coloribus expressa quam acu picta; in univ. *imago* vel *signum* (ut coeli signa). Hipp. mai. 298. A: *καὶ τὰ ποικίλματα πάντα καὶ τὰ ζωγραφήματα καὶ τὰ πλάσματα τρέπει ἡμᾶς ὁρῶντας*. Epin. 975. D:

ὅσων γραφικὴ μήτηρ, πολλῶν καὶ παντοίων ποικιλμάτων ἀποτελουμένων ἐν πολλοῖς ὑγροῖς καὶ ξηροῖς γένεσιν. Euth. 6. C: ὁ πέπλος μεστὸς τῶν τοιούτων ποικιλμάτων. Pol. VII. 529. B: ἐν ὀροφῇ ποικίλματα θεώμενος. 529. C: τὰ ἐν τῷ οὐρανῷ ποικίλματα.

ποικίλος, η, ον, *variis coloribus distinctus*, *versicolor*. Phaed. 110. B: ποικίλη, χρώμασι διειλημμένη (ἡ γῆ). Pol. VIII. 558. C: πολιτεία ... ποικίλη. VIII. 557. C: ἱμάτιον ποικίλον. Ion. 535. D: ἐσθῆτι ποικίλῃ. Pol. VIII. 561. E: τὸν καλόν τε καὶ ποικίλον ... τοῦτον τὸν ἄνδρα εἶναι. X. 616. E. Phaed. 110. D: ἕν τι εἶδος ξυνεχὲς ποικίλον. Pol. VIII. 557. C: τὰ ποικίλα θεώμενοι. **varius*, *multiplex*. Prot. 334. B: οὕτω δὲ ποικίλον τί ἐστι τὸ ἀγαθὸν καὶ παντοδαπόν. Phil. 12. C. Pol. IX. 588. C: θηρίου ποικίλου καὶ πολυκεφάλου. Tim. 50. D. Phaedr. 277. C: ποικίλῃ ... ψυχῇ. Pol. X. 604. D: οὐκοῦν τὸ μὲν πολλὴν μίμησιν καὶ ποικίλην ἔχει —; Soph. 226. A: τὸ ποικίλον εἶναι τοῦτο τὸ θηρίον. Pol. X. 605. A: πρὸς τὸ ἀγανακτητικόν τε καὶ ποικίλον ἦθος. Legg. IX. 857. B: ποικίλοις οὖσιν. Ax. 371. C: παντοῖοι ... λειμῶνες ἄνθεσι ποικίλοις ἐαριζόμενοι. Phaedr. 277. C: ποικίλους ... καὶ παναρμονίους διδοὺς λόγους. Pol. III. 399. C: ποικίλους (ῥυθμούς). VIII. 559. D: παντοδαπὰς ἡδονὰς καὶ ποικίλας. Theaet. 146. D: πολλὰ δίδως καὶ ποικίλα ἀνθ᾽ ἁπλοῦ. Critia 116. B: τὰ δὲ ποικίλα ὕφαινον (τῶν οἰκοδομημάτων). Legg. IV. 704. D: πολλά τε ... ἤθη καὶ ποικίλα. Pol. IV. 426. A: πλήν γε ποικιλώτερα καὶ μείζω ποιοῦσι τὰ νοσήματα. Locr. 101. E: πολυειδέστατον καὶ ποικιλώτατον (γένος). Soph. 234. B: σχεδὸν ποικιλώτατον (εἶδος). **multiplex*, h. e. *abstrusus*, *perplexus*, *difficilis perspectu* et in univ. *difficilis*. Conv. 182. B: ὁ περὶ τὸν ἔρωτα νόμος ἐν μὲν ταῖς ἄλλαις πόλεσι νοῆσαι ῥᾴδιος ... ὁ δ᾽ ἐνθάδε ... ποικίλος. Gorg. 491. D: οὐδὲν ποικίλον. Id. Crat. 393. D. Phil. 53. E: οὐδέν τι ποικίλον. Tim. 59. C. Soph. 223. C: οὐ γάρ τι φαύλης μέτοχόν ἐστι τέχνης τὸ νῦν ζητούμενον, ἀλλ᾽ εὖ μάλα ποικίλης. Men. 75. E: τὸ τοιοῦτον βούλομαι λέγειν, οὐδὲν ποικίλον. Etiam est *argutus* vel *subtilis* (Phaedr. 236. B: εἰπεῖν παρὰ τὴν ἐκείνου σοφίαν ἕτερόν τι ποικιλώτερον) et *versutus* (Pol. II. 365. C: ἀλώπεκα ... κερδαλέαν καὶ ποικίλην).

ποίκιλσις, ἡ, *varietas*. Legg. V. 747. A: τὰς τῶν ἀριθμῶν διανομὰς καὶ ποικίλσεις.

ποικίλως, *vario modo*. Ax. 365. C: δέος τι ποικίλως περιαμύττον τὸν νοῦν.

ποιμαίνω, *pasco*. Theaet. 174. D: ποιμαίνειν τε καὶ βδάλλειν. Pol. I. 345. C: ποιμαίνειν ... τὰ πρόβατα. Legg. VII. 805. E: βουκολεῖν καὶ ποιμαίνειν. **curo*. Lys. 209. A: ἀλλὰ καὶ τοῦτο ἄλλος ποιμαίνει καὶ θεραπεύει.

ποιμενικός, ή, όν, pastoralis, fem. *past. ars.* Pol. I. 345. D: *τοῦ ποιμενικὴ εἶναι.* Ib. *τῇ ... ποιμενικῇ.*

ποιμήν, ὁ, pastor, et in univ. *curator.* Pol. I. 345. C: *καθ' ὅσον ποιμήν ἐστιν.* Legg. V. 735. A: *ποιμὴν καὶ βουκόλος* cet. VII. 808. D: *ἄνευ ποιμένος ... οὔτε πρόβατα οὔτ' ἄλλο οὐδέν πω βιωτέον.* De lege 318. A. Polit. 274. E: *τὸν ἐκ τῆς ἐναντίας περιόδου ποιμένα τῆς τότε ἀνθρωπίνης ἀγέλης.* Pol. I. 343. A: *ὅς γε αὐτῇ οὐδὲ πρόβατα οὐδὲ ποιμένα γιγνώσκεις.* 345. C: *τὸν ὡς ἀληθῶς ποιμένα.* II. 359. D. De lege 321. C: *ποιμένα λαῶν* (ex Hom.). Critia 109. B: *καθάπερ ποιμένες κτήνη πληγῇ νέμοντες.* De lege 321. B: *νομεῖς τε καὶ ποιμένες ἀνδρῶν.* Polit. 275. B: *ποιμένων τε καὶ βουκόλων.* Phil. 38. D. Pol. IV. 440. D: *τῶν ἀρχόντων ὥσπερ ποιμένων πόλεως.* Legg. III. 695. A. Pol. II. 359. E: *τοῖς ποιμέσιν.* III. 416. A. I. 343. A: *τοὺς ποιμένας ἢ τοὺς βουκόλους.* II. 370. D. Legg. III. 695. A.

ποίμνη, ἡ, grex; armentum. Polit. 268. B: *τὴν τῆς αὑτοῦ ποίμνης ἄριστα μεταχειριζόμενος μουσικήν.* 267. B: *ἐπὶ ποίμνῃ δίποδι.* Pol. III. 415. E: *ὥσπερ λύκος ἐπὶ ποίμνην τις ἴοι.*

ποίμνιον, τό, grex. Pol. V. 459. E: *εἰ μέλλει τὸ ποίμνιον ὅτι ἀκρότατον εἶναι.* III. 416. A: *κύνας ἐπικούρους ποιμνίων.* Legg. X. 906. A: *ποιμνίων ἐπιστάταις.* IV. 713. D: *οἷον νῦν ἡμεῖς δρῶμεν τοῖς ποιμνίοις.* Pol. II. 359. E: *τὰ περὶ τὰ ποίμνια.* Critia 109. B. Legg. III. 694. E: *ποίμνια ... καὶ πρόβατα* cet.

ποινή, ἡ, poena. Men. 81. B. (Pind.).

ποῖος, ποία, ποῖον, qualis; quis. Soph. 263. A: *ποῖος;* Pol. II. 465. A: *ποῖός τις ἂν ὢν ... τὸν βίον ὡς ἄριστα διέλθοι.* I. 328. E: *πυνθάνεσθαι ... ποία τίς ἐστι.* Phaedr. 264. D: *ποῖον τοῦτο καὶ τί πεπονθός;* Theaet. 147. D: *τὸ ποῖον δή;* Soph. 220. E: *τὸ ποῖον;* Polit. 270. B. Phil. 34. B. Pol. II. 369. A: *ζητήσομεν ποῖόν τί ἐστιν.* Prot. 312. D: *ποίας ἐργασίας ἐπιστάτης;* Pol. X. 618. D: *μετὰ ποίας τινὸς ψυχῆς ἕξεως κακὸν ἢ ἀγαθὸν ἐργάζεται.* Phaed. 78. B: *ὑπὲρ τοῦ ποίου τινὸς δεδιέναι (προσήκει).* Ib. *τῷ ποίῳ τινὶ ... προσήκει τοῦτο τὸ πάθος πάσχειν.* Phaedr. 260. C: *ποῖόν τινα οἴει ... καρπὸν ... θερίζειν;* Soph. 263. B. Phil. 14. C: *τὸν ποῖον δή;* 21. D. Theaet. 149. D: *ποίαν χρὴ ποίῳ ἀνδρὶ συνοῦσαν ὡς ἀρίστους παῖδας τίκτειν.* Polit. 259. D: *φράζε ποίαν (διαφυήν).* Pol. VIII. 550. C: *λέγεις δὲ ... τὴν ποίαν κατάστασιν ὀλιγαρχίαν:* Phaedr. 265. A: *τὸ ποῖον δὴ λέγεις;* 279. A: *τὸ ποῖον δή;* Phaed. 89. C. Theaet. 144. D: *ποῖόν τι ἔχω τὸ πρόσωπον.* 187. C. Soph. 240. C: *πῇ καὶ τὸ ποῖόν τι φοβούμενος οὕτω λέγεις;* Polit. 262. C. Legg. III. 677. A: *ποῖοι δή (λόγοι);* Pol. II. 374. E: *τίνες τε καὶ ποῖαι φύσεις ἐπιτήδειαι εἰς πόλεως φυλακήν.* Crat. 395. D: *τὰ ποῖα ταῦτα;* Pol. V. 468. A: *λέγ', ἔφη, ποῖ' ἄν* (v. *ποῖον*).

Polit. 280. B: ποίων, εἰπέ, ξυγγενῶν; Pol. VII. 526. A: περὶ ποίων ἀριθμῶν διαλέγεσθε —; Crat. 438. A: ἐκ ποίων οὖν ὀνομάτων ἢ μεμαθηκὼς ἢ εὑρηκὼς ἦν τὰ πράγματα —; Pol. III. 414. D: ὁποίᾳ τόλμῃ ἢ ποίοις λόγοις χρώμενος ἐρῶ. Legg. VII. 799. A: χορείαις ποίαισι γεραίρειν (δεῖ) τὴν τότε θυσίαν. Gorg. 449. E: ποίους τούτους; Pol. VI. 502. D: κατὰ ποίας ἡλικίας ἕκαστοι ἑκάστων ἁπτόμενοι. Legg. VII. 799. Gorg. 453. C: ὁ τὰ ποῖα τῶν ζώων γράφων καὶ ποῦ; Phaed. 81. E: τὰ ποῖα δὴ ταῦτα λέγεις —; Soph. 217. A: τὰ ποῖα δή; 250. A: ποῖα; Phil. 13. D: τὰ ποῖα δὴ λέγεις; 20. C. Pol. III. 398. C: ποῖ' ἄττα δεῖ ἡμᾶς λέγειν. VI. 496. A: ποῖ' ἄττα οὖν εἰκὸς γεννᾶν τοὺς τοιούτους; Etiam ita ponitur ut cum irrisione quadam neget (germ. *wie?*). Euthyd. 291. A: ποῖος Κτήσιππος; (nos: *wie denn* Kt.?). Charm. 174. B: ποῖον ... πεττευτικόν; Euthyd. 304. E: ποῖον ... χαρίεν —; Lach. 194. D: ποίαν ... σοφίαν; Riv. 132. B: ποῖον ... μέγα καὶ καλόν; Men. 80. D: ποῖον γὰρ ὢν οὐκ οἶσθα προθέμενος ζητήσεις; Phil. 63. C: ποίων, φαῖεν ἂν ἴσως, ἡδονῶν; Hipp. mai. 285. D: περὶ ποίων ... ἁρμονιῶν καὶ γραμμάτων; Gorg. 490. D: ποίων ἱματίων; Theaet. 180. B: ποίοις μαθηταῖς —; Gorg. 490. E: ποῖα ὑποδήματα; Pol. I. 330. A: ποῖ' ἐπεκτησάμην (germ. *wie sollte ich*—); — Enclit. ποιός, Lat. *qualis* (germ. *irgend wie beschaffen, irgend einer*). Pol. IV. 438. D: τῷ ποιά τις εἶναι. E: ποιὰ δή τις συνέβη καὶ αὐτὴ γενέσθαι. Legg. VI. 770. D: (ἐκ) ποιᾶς κτήσεως. Crat. 432. B: τοῦ δὲ ποιοῦ τινὸς καὶ ξυμπάσης εἰκόνος μὴ οὐχ αὕτη ᾖ ὀρθότης cet. Pol. IV. 438. E: τοῦ ποιοῦ τινὸς προσγενομένου. 439. A: οὐκοῦν ποιοῦ μέν τινος πώματος ποιόν τι καὶ δίψος —; Legg. X. 904. B. Ep. VII. 343. B: δυοῖν ὄντοιν, τοῦ δὲ ὄντος καὶ τοῦ ποιοῦ τινός. Soph. 262. E: οὐκοῦν καὶ ποιόν τινα αὐτὸν (τὸν λόγον) εἶναι δεῖ; Theaet. 182. A: τὸ δὲ ποιοῦν ποιόν τι (γίγνεσθαι). Phil. 37. C: (εἰ) ἡδονὴ ... καὶ λύπη μόνον ἅπερ ἐστί, ποιώ τινε δὲ οὐ γίγνεσθον. Def. 414. C: διάθεσις ψυχῆς καθ' ἣν ποιοί τινες λεγόμεθα. Phil. 37. C: εἰ ... τὰ μέν ἐστι ποί' ἄττα cet. Pol. IV. 438. B: τὰ μὲν ποί' ἄττα ποιοῦ τινός ἐστιν. E: τῶν δὲ ποιῶν τινῶν ποιὰ ἄττα. Theaet. 182. B: τὰ μὲν ποιὰ ἄττα γίγνεσθαι.

ποιότης, ἡ, *qualitas*. Theaet. 182. A: τὸ δὲ ποιοῦν ποιόν τι, ἀλλ' οὐ ποιότητα.

ποιπνύω, *sedulo ministro*. Pol. III. 389. A. (Hom.).

ποιῶ, *facio, reddo, efficio; excito;* etiam *afficio* (ut εὖ al.); *ago; factito* (v. c. artem); *constituo* vel *instituo* al. Theaet. 149. A: (ὅτι) ποιῶ τοὺς ἀνθρώπους ἀπορεῖν. Parm. 131. B: ἡδέως γε ... ἓν ταὐτὸν ἅμα πολλαχοῦ ποιεῖς. Prot. 310. D: (ὅτι) ἐμὲ ... οὐ ποιεῖ (σοφόν). 353. D: ὅτι ... νόσους τε ποιεῖ καὶ πενίας cet. Pol. III. 407. C: κάμνειν ... οἴεσθαι ποιεῖ ἀεί. VI. 503. D: πρὸς τὰς μαθήσεις αὖ ποιεῖ ταὐτόν.

VII. 530. D: ἢ πῶς ποιοῦμεν; Crit. 50. A: πότερον κακῶς τινὰς ποιοῦμεν — ἢ οὔ; Pol. V. 474. D: ἢ οὐχ οὕτω ποιεῖτε πρὸς τοὺς καλούς; Prot. 326. C: καὶ ταῦτα ποιοῦσιν οἱ μάλιστα δυνάμενοι. Phaedr. 252. E: πᾶν ποιοῦσιν ὅπως τοιοῦτος ἔσται. (Id. Gorg. 479. C.) 267. A: τὰ μεγάλα σμικρὰ φαίνεσθαι ποιοῦσι διὰ ῥώμην λόγου. Phil. 43. C: ὡς αἱ ... μεγάλαι μεταβολαὶ λύπας τε καὶ ἡδονὰς ποιοῦσιν ἡμῖν. Pol. II. 363. D: ἐστεφανωμένους ποιοῦσι τὸν ἅπαντα χρόνον ἤδη διάγειν μεθύοντας. Euth. 8. C: πάντα ποιοῦσι καὶ λέγουσι φεύγοντες τὴν δίκην. Ib. πᾶν ποιοῦσι. Phaed. 60. E: μουσικὴν ποίει καὶ ἐργάζου. Conv. 214. D: ἀλλ' οὕτω ποίει. Pol. I. 338. A: μὴ οὖν ἄλλως ποίει. De lucri cup. 228. B: οὐ μέντ' ἂν καλῶς ποιοίην. Men. 80. B: εἰ ... ξένος ἐν ἄλλῃ πόλει τοιαῦτα ποιοῖς. Lach. 184. E. Pol. II. 360. C: οὕτω ... δρῶν οὐδὲν ἂν διάφορον τοῦ ἑτέρου ποιοῖ. Lach. 184. D: τί γὰρ ἄν τις καὶ ποιοῖ —; Pol. III. 403. E: ὀρθῶς ἂν ποιοῖμεν. IX. 590. B: ὅταν τις ... τὸ θυμοειδὲς ὑπὸ τῷ ὀχλώδει θηρίῳ ποιῇ. Hipp. mai. 297. E: ὃ ἂν χαίρειν ἡμᾶς ποιῇ. Phaed. 70. B: τί δὴ ποιῶμεν; Pol. V. 461. E: ἢ πῶς ποιῶμεν (v. ποιοῦμεν. Cf. VII. 530. D.). Gorg. 480. E: εἰ ἄρα δεῖ τινὰ κακῶς ποιεῖν. 499. C: τὸ παρὸν εὖ ποιεῖν (*id quod est bene ponere*, h. e. *eo sapienter uti.* Id. Legg. XII. 959. C.). Phaedr. 268. B: ἐμεῖν ποιεῖν. Phaed. 60. E: ταύτην τὴν μουσικὴν ... ποιεῖν. 62. A: αὐτοὺς ἑαυτοὺς εὖ ποιεῖν. Theaet. 166. D: οὐ καλῶς ποιῶν. Pol. I. 351. D: ἀλλ' εὖ γε σὺ ποιῶν. Apol. 39. A: πᾶν ποιῶν. Pol. II. 367. B: τί ποιοῦσα ἑκατέρα τὸν ἔχοντα cet. Theaet. 160. C: τὸ ἐμὲ ποιοῦν (*quod me afficit*). Phil. 26. E: ἡ τοῦ ποιοῦντος φύσις. Pol. II. 380. D: ποιοῦντα περὶ αὐτοῦ τοιαῦτα δοκεῖν. Polit. 298. B: σφάλματα ποιοῦντες ἐν τοῖς πελάγεσιν. Pol. VI. 488. C: πάντα ποιοῦντες ὅπως ἂν cet. Theaet. 159. A: τὰ ποιοῦντα (opp. τὰ πάσχοντα). Pol. VIII. 589. D: τὰ μὲν καλὰ τὰ ὑπὸ τῷ ἀνθρώπῳ, μᾶλλον δὲ ἴσως τὰ ὑπὸ τῷ θείῳ τὰ θηριώδη ποιοῦντα τῆς φύσεως cet. Conv. 174. A: ἃ ἐκεῖνος ὀλιγάκις ἐποίει. Pol. I. 352. Hipp. mai. 294. D: μὴ μόνον καλὰ ἐποίει εἶναι, ἀλλὰ καὶ φαίνεσθαι. Legg. VII. 805. B: πεποίηκάς τ' ἐμὲ ... αὐτὸν ἐμαυτῷ ἐπιπλήττειν ὅτι ταῦτα εἴρηκα. Conv. 222. B: οὐκ ἐμὲ μόνον ταῦτα πεποίηκεν (*ita affecit*). Apol. 20. D: ὃ ἐμοὶ πεποίηκε τό τε ὄνομα καὶ τὴν διαβολήν. Legg. III. 702. B: εἰ ... δή τι πεποιήκαμεν προὔργου. Id. Men. 84. B. Conv. 183. C: πᾶσαν ἐξουσίαν πεποιήκασι τῷ ἐρῶντι. Ep. VII. 332. A: ἐκ πενήτων πλουσίους ἐπεποιήκει διαφερόντως. Phaedr. 242. B: μηδένα πλείους (λόγους) ἢ σὲ πεποιηκέναι γεγενῆσθαι. Legg. XI. 937. C: τὴν νίκην τῷ ἑλόντι πεποιηκέναι. Men. 80. A: σὺ δοκεῖς μοι νῦν ἐμὲ τοιοῦτόν τι πεποιηκέναι. Gorg. 519. B: πολλὰ καὶ ἀγαθὰ τὴν πόλιν πεποιηκότες. Legg. IX. 880. E: οὗτοι τοὺς μέλλοντας λόγους ῥηθήσεσθαι

πεποιηκότες ἂν εἶεν. II. 660. C: εἰ μὴ σαφῶς λέγων ἃ διανοοῦμαι τοῦτο ἐποίησα καὶ ἔπαθον. Phaed. 60. C: εὖ γ' ἐποίησας ἀναμνήσας με (nos: *gut dass du mich daran erinnerst*). Theaet. 185. E: εὖ ἐποίησάς με μάλα συχνοῦ λόγου ἀπαλλάξας. Pol. I. 330. B: πολλάκις τοσαύτην ἐποίησε (τὴν οὐσίαν). III. 411. B: χρήσιμον ἐξ ἀχρήστου ... ἐποίησεν. Charm. 155. B: ἐποίησε γέλωτα πολύν. Gorg. 516. D: Θεμιστοκλέα ταὐτὰ ταῦτα ἐποίησαν. Tim. 45. B: ἐποίησαν ... ῥεῖν. Euthyd. 285. B: φρόνιμον ποιησάντων. Legg. V. 739. A: τάχ' ἂν θαυμάσαι τὸν ἀκούοντα τὸ πρῶτον ποιήσειεν. Pol. IV. 435. A: τάχ' ἂν ... ἐκλάμψαι ποιήσαιμεν τὴν δικαιοσύνην. Apol. 25. E: ἐάν τινα μοχθηρὸν ποιήσω τῶν ξυνόντων. Conv. 173. E: μὴ ἄλλως ποιήσῃς. Pol. III. 413. B: οὓς ἂν ὀδύνη τις ... μεταδοξάσαι ποιήσῃ. Phaedr. 231. E: μεταμέλει ὧν ἂν εὖ ποιήσωσιν. Pol. III. 416. B: μὴ τοιοῦτον ἡμῖν οἱ ἐπίκουροι ποιήσωσι πρὸς τοὺς πολίτας. Prot. 344. C: ὥστε κείμενον ποιῆσαι. Theaet. 146. A: προθυμούμενος ἡμᾶς ποιῆσαι διαλέγεσθαι. Conv. 190. C: ἐβουλεύοντο ὅ τι χρὴ αὐτοὺς ποιῆσαι. Pol. III. 393. B. Gorg. 520. E: εὖ ποιήσας. Men. 84. B: ἀπορεῖν ... αὐτὸν ποιήσαντες. Pol. I. 358. B: οὑτωσὶ οὖν ποιήσω. Phil. 50. D: πότερα ἀφίης με ἢ μέσας ποιήσεις νύκτας (ubi est germ. *werden lassen*); Pol. I. 337. C: ἄλλο τι ... καὶ σὺ οὕτω ποιήσεις; Prot. 310. D: ποιήσει καὶ σὲ σοφόν. Phaed. 117. B: καὶ οὕτως αὐτὸ ποιήσει (nos: *so wird es von selbst wirken*). Pol. I. 352. A: καὶ ἐν ἑνὶ ... ἐνοῦσα ταῦτα πάντα ποιήσει. Charm. 170. D: ἡ σωφροσύνη οὐ ποιήσει αὐτὸν γιγνώσκειν. Pol. III. 397. D: τί οὖν ποιήσομεν; V. 460. A: τὸ ... πλῆθος τῶν γάμων ἐπὶ τοῖς ἄρχουσι ποιήσομεν. VII. 519. D: ποιήσομεν χεῖρον ζῆν. Phaedr. 231. C: τούτους κακῶς ποιήσουσι. Gorg. 518. D: τούτους ... κακόν τι ποιήσουσι. Pol. I. 327. A: τίνα τρόπον ποιήσουσιν (τὴν ἑορτήν). 328. A: παννυχίδα ποιήσουσιν. V. 469. B: πρὸς τοὺς πολεμίους πῶς ποιήσουσιν ἡμῖν οἱ στρατιῶται; I. 337. A: (ὅτι) πάντα μᾶλλον ποιήσοις ἢ ἀποκρινοῖο. Crit. 54. D: εἴ τι οἴει πλέον ποιήσειν. Pol. X. 601. D: ποιήσουσαν (τέχνην). Soph. 219. B: τὸ ... ἀγόμενον ποιεῖσθαί πού φαμεν. Phil. 26. E: τὸ ... ποιούμενον ... καὶ τὸ γιγνόμενον. Pol. X. 598. B: πρὸς πότερον ἡ γραφικὴ πεποίηται περὶ ἕκαστον; Gorg. 512. D: ὅσαι (τέχναι) τοῦ σώζειν ἕνεκα πεποίηνται. Pol. X. 601. D: πρὸς ἣν ἂν ἕκαστον ἦ πεποιημένον ἢ πεφυκός. Legg. XII. 947. B: οἷον ὕμνον πεποιημένον ἔπαινον εἰς τοὺς ἱερέας. Lys. 206. E: τὰ περὶ τὰ ἱερεῖα σχεδόν τι ἤδη πεποιημένα. Med. *facio*, *ago* al. Saepenumero cum subst. vel adiect. verbi est amplificatio, velut λόγους ποιεῖσθαι i. q. λέγειν. Phaedr. 227. A: κατὰ τὰς ὁδοὺς ποιοῦμαι τοὺς περιπάτους. Theaet. 157. C: ὅτι ... οὔτε ποιοῦμαι τῶν τοιούτων οὐδὲν ἐμόν. Prot. 313. B: περὶ ... τούτου οὐδένα λόγον οὐδὲ συμβουλὴν ποιεῖ εἴτε

χρὴ cet. Phil. 58. B: πάντα ... ὑφ' αὑτῇ δοῦλα ... ποιοῖτο. Pol. VIII. 551. C: εἰ νεῶν ... τις ποιοῖτο κυβερνήτας ἀπὸ τιμημάτων. Conv. 173. C: ὅταν μέν τινας περὶ φιλοσοφίας λόγους ... ποιῶμαι. Phaedr. 257. B: (ἵνα) ... μετὰ φιλοσόφων λόγον τὸν βίων ποιῆται. Legg. XII. 955. C. Pol. I. 348. D: πόλεις τε καὶ ἔθνη δυνάμενοι ἀνθρώπων ὑφ' ἑαυτοὺς ποιεῖσθαι. X. 619. D: τὰς αἱρέσεις ποιεῖσθαι. Legg. VI. 776. A: τὸν γάμον ... ποιεῖσθαι cet. Phaedr. 233. C: ὀλίγην ὀργὴν ποιούμενος. Hipp. min. 372. C: ἐμαυτοῦ ποιούμενος τὸ μάθημα εἶναι ὡς εὕρημα. Pol. VI. 510. B: αὐτοῖς εἴδεσι δι' αὐτῶν τὴν μέθοδον ποιουμένη. Tim. 88. A: διδαχάς τ' αὖ καὶ μάχας ἐν λόγοις ποιουμένη. Theaet. 169. C: παιδικόν τι ... εἶδος τῶν λόγων ποιούμενοι. Pol. II. 372. C: οὐχ ὑπὲρ τὴν οὐσίαν ποιούμενοι τοὺς παῖδας. VII. 527. A: πράξεως ἕνεκα πάντας τοὺς λόγους ποιούμενοι. Critia 115. C: ὁδὸν ποιούμενοι. Epin. 975. B: τῶν ποιουμένων αὐτῶν δυσχέρειαν ἀπεργάζοιτ' ἄν. Pol. VII. 536. D: οὐχ ὡς ἐπάναγκες μαθεῖν τὸ σχῆμα τῆς διδαχῆς ποιουμένους. Conv. 173. C: τοὺς λόγους περὶ αὐτῶν ἐποιούμεθα. Prot. 328. B: τὸν τρόπον τῆς πράξεως τοῦ μισθοῦ τοιοῦτον πεποίημαι. Conv. 172. C: ἀφ' οὗ ... ἐπιμελὲς πεποίημαι (*sedulo id ago ut*) ἑκάστης ἡμέρας εἰδέναι ὅ τι ἂν λέγῃ ἢ πράττῃ. Legg. I. 628. E: εἰ τά τε παρ' ἡμῖν νόμιμα ... μὴ πᾶσαν τὴν σπουδὴν τούτων ἕνεκα πεποίηται. Soph. 222. E: τὸ ... δι' ἡδονῆς τὸ δέλεαρ πεποιημένον. Tim. 27. A: περὶ φύσεως τοῦ παντὸς εἰδέναι μάλιστα ἔργον πεποιημένον. Pol. VIII. 556. C: οὐδὲν πλείω ἐπιμέλειαν πεποιημένους ἀρετῆς ἢ τοὺς πένητας. Theag. 123. B: νυνὶ ... ἐμὲ ποίησαι μάρτυρα. Pol. III. 415. E: εὐνὰς ποιησάσθων. Crat. 428. B: ἴσως ἂν σε ποιησαίμην μαθητήν. Legg. X. 897. E: μὴ ... ἐξ ἐναντίας ... ποιησώμεθα τὴν ἀπόκρισιν. Conv. 203. B: παιδίον ποιήσασθαι ἐκ τοῦ Πόρου. Pol. VIII. 567. E: τῶν περὶ ἑαυτὸν δορυφόρων ποιήσασθαι. Phaedr. 258. A: πάνυ μακρὸν ποιησάμενος σύγγραμμα. Pol. II. 371. B: κοινωνίαν ποιησάμενοι. VI. 510. C: ποιησάμενοι ὑποθέσεις αὐτά. Ion. 530. E: ἐγὼ ἔτι ποιήσομαι σχολὴν ἀκροάσασθαί σου. Pol. II. 370. C: ὁ ... γεωργὸς ... οὐκ αὐτὸς ποιήσεται ἑαυτῷ τὸ ἄροτρον. V. 471. B: μέχρι τούτου ποιήσονται τὴν διαφορὰν μέχρι οὗ cet. Legg. VIII. 835. A: μετὰ τίνων τοὺς ἀγῶνας ποιήσονται περὶ ἁπάντων χορῶν καὶ χορείας. **facio*, h. e. *exhibeo*, *fingo* (germ. *darstellen*, *bilden*, *dichten* et *componiren*). Phaedr. 253. D: ποιεῖ εὐθύς. Hipp. min. 364. E. Pol. IV. 421. A: εἰ ... ἡμεῖς ... φύλακας ὡς ἀληθῶς ποιοῦμεν. X. 599. A: φαντάσματα γάρ, ἀλλ' οὐκ ὄντα ποιοῦσιν. 600. E. Legg. II. 659. C: πρὸς ... τὴν τῶν κριτῶν ἡδονὴν ποιοῦσιν. Apol. 22. C: ὅτι οὐ σοφίᾳ ποιοῖεν ἃ ποιοῖεν. Pol. II. 379. A: ἐάν τέ τις αὐτὸν ἐν ἔπεσι ποιῇ ἐάν τε ἐν μέλεσι cet. X. 598. E: εἰ μέλλει περὶ ὧν ἂν ποιῇ

καλῶς ποιήσειν. II. 369. C: τῷ λόγῳ ἐξ ἀρχῆς ποιῶμεν πόλιν. 379. A: παρ' οὓς ἐὰν ποιῶσιν (οἱ ποιηταί). Phaed. 61. B: ποιεῖν μύθους. Crat. 389. D: πάντα τὰ ὀνόματα ποιεῖν. Conv. 223. D: κωμῳδίαν καὶ τραγῳδίαν ἐπίστασθαι ποιεῖν. Pol. II. 383. A: ἐν ᾧ (τύπῳ) δεῖ περὶ θεῶν καὶ λέγειν καὶ ποιεῖν. X. 598. E. Lys. 205. A: μὴ ποιεῖν εἰς τὰ παιδικά. Tim. 76. C: ὁ ποιῶν (*opifex mundi*). Conv. 187. D: ἢ ποιοῦντα, ὃ δὴ μελοποιίαν καλοῦσιν. Legg. II. 660. A: ἐν ἁρμονίαις μέλη ποιοῦντα. Euth. 3. B: ὡς καινοὺς ποιοῦντα (*fingentem*) θεούς. Crat. 393. E: ὀνόματα ποιοῦντες. Pol. III. 395. A: οἷον κωμῳδίαν καὶ τραγῳδίαν ποιοῦντες. Ion. 534. B: ἅτε ... οὐ τέχνῃ ποιοῦντες. Pol. V. 472. E: οὐ καὶ ἡμεῖς ... παράδειγμα ἐποιοῦμεν λόγῳ ἀγαθῆς πόλεως; Phaed. 60. D: περὶ ... τῶν ποιημάτων ὧν πεποίηκας. Gorg. 525. D: βασιλέας ... πεποίηκε τοὺς ἐν Ἅιδου ... τιμωρουμένους. Phaed. 94. E: οἷόν που καὶ Ὅμηρος πεποίηκεν. Pol. IV. 441. B. Ion. 531. B: οὐχ ὁμοίως πεποιήκασι καὶ Ὅμηρος. Crat. 407. B: τὸν ποιητήν φασι τὴν Ἀθηνᾶν αὐτὸν νοῦν τε καὶ διάνοιαν πεποιηκέναι. Conv. 177. B. Hipp. min. 369. C: Ὅμηρον Ἀχιλλέα πεποιηκέναι ἀμείνω Ὀδυσσέως. 364. C. E: τὸν Ὀδυσσέα ... ὅτι πεποιηκὼς εἴη ὁ ποιητὴς πολυτροπώτατον. Apol. 22. B: περὶ ὧν αὐτοὶ ἐπεποιήκεσαν (al. πεποιηκ.). Phaed. 61. B: εἰς τὸν θεὸν ἐποίησα. Ib. τούτους (al. τούτων) ἐποίησα (*versibus inclusi*). Pol. II. 368. A: οὐ κακῶς ... τὴν ἀρχὴν τῶν ἐλεγείων ἐποίησεν ὁ Γλαύκωνος ἐραστής. Hipp. min. 365. D: τί ποτε νοῶν ταῦτα ἐποίησε τὰ ἔπη. Pol. II. 359. B: εἰ τοιόνδε ποιήσαιμεν τῇ διανοίᾳ. 377. C: ὃν ... ἂν καλὸν μῦθον ποιήσωσιν. Phaed. 94. E: ἆρ' οἴει αὐτὸν (τὸν Ὅμηρον) ταῦτα ποιῆσαι διανοούμενον cet. Phaedr. 243. C: ποιήσας ... πᾶσαν τὴν ... παλινῳδίαν. Phaed. 60. D: πρότερον οὐδὲν πώποτε ποιήσας. Conv. 174. B: ποιήσας ... τὸν Ἀγαμέμνονα διαφερόντως ἀγαθὸν ἄνδρα τὰ πολεμικά. Tim. 38. C: ποιήσας ὁ θεός. Legg. VII. 801. C. Euth. 12. A. Legg. II. 669. C: ῥήματα ἀνδρῶν ποιήσασαι (αἱ Μοῦσαι). Prot. 339. A: ἅ τε ὀρθῶς πεποίηται καὶ ἃ μή. Alc. II. 151. B: ὥσπερ ... ὁ Κρέων Εὐριπίδῃ πεποίηται cet. Hipp. min. 363. B: τὸ μὲν (ποίημα) εἰς Ὀδυσσέα ἔφη πεποιῆσθαι. 364. D. Pol. III. 404. E: τῇ μελοποιίᾳ τε καὶ ᾠδῇ τῇ ἐν τῷ παναρμονίῳ καὶ ἐν πᾶσι ῥυθμοῖς πεποιημένῃ. Conv. 187. D: χρώμενον ὀρθῶς τοῖς πεποιημένοις μέλεσί τε καὶ μέτροις. 177. A: ὕμνους ... εἶναι ὑπὸ τῶν ποιητῶν πεποιημένους. Pol. II. 378. D: οὔτ' ἐν ὑπονοίαις πεποιημένας (θεομαχίας) οὔτ' ἄνευ ὑπονοιῶν. *ut Lat. *facio*, est *pono*, *sumo*, *statuo*; etiam *puto*, *existimo*. Theaet. 179. B: ἢ τὰς τῶν ἄλλων δόξας κυρίας ποιεῖ. Phil. 17. A: ἓν ... καὶ πολλὰ θᾶττον καὶ βραδύτερον ποιοῦσι τοῦ δέοντος. Ep. VIII. 355. B: τὴν τῆς ψυχῆς ἀρετὴν ἐντιμοτάτην ποιοῦντες. Theaet. 197. D: ἐν

ἑκάστῃ ψυχῇ ποιήσωμεν περιστερεῶνά τινα παντοδαπῶν ὀρνίθων. Pol. VI. 498. A: *οἱ φιλοσοφώτατοι ποιούμενοι.* VII. 538. C: *τῶν ἄλλων ποιουμένων οἰκείων.* VIII. 573. B: *δόξας ἢ ἐπιθυμίας ... ποιουμένας χρηστάς.* IX. 574. D: *ἃς πάλαι εἶχε δόξας ... τὰς δικαίας* (sic Par. A. Vulg. *τὰς δίκας*) *ποιουμένας.* Theaet. 197. E: *πεποιήσθω δή* (*positum — esto*). Med. Legg. III. 702. C: *ἀλλὰ καὶ πρὸς* (*insuper*) *οἰωνόν τινα ποιοῦμαι.* Theag. 128. B: *τοῦτο ... τὸ μάθημα παρ' ὀντινοῦν ποιοῦμαι δεινὸς εἶναι.* Pol. IX. 581. D: *τὸν δὲ φιλόσοφον ... ποιώμεθα τὰς ἄλλας ἡδονὰς νομίζειν ... τῆς ἡδονῆς οὐ πάνυ πόῤῥω —;* Gorg. 489. C: *ἕρμαιον τοῦτο ποιούμενος.* Legg. XI. 932. C: *ἀπόῤῥητον μηδὲν ποιούμενοι* cet. Sic praecipue cum praepos. *περί* et adiect. Prot. 328. D: *πολλοῦ* (*περὶ πολλοῦ?*) ... *ποιοῦμαι ἀκηκοέναι ἃ ἀκήκοα Πρωταγόρου.* Crit. 48. E: *ὡς ἐγὼ περὶ πολλοῦ ποιοῦμαι πεῖσαί σε* cet. Phaedr. 232. C: *ἃ περὶ πλείστου ποιεῖ.* Pol. X. 603. E: *ἤ τι ἄλλο ὧν περὶ πλείστου ποιεῖται.* Apol. 30. A: *ὅτι τὰ πλείστου ἄξια περὶ ἐλαχίστου ποιεῖται.* Crit. 54. B: *μήτε παῖδας περὶ πλείονος ποιοῦ.* Phaedr. 231. C: *τοὺς ἐρῶντας περὶ πολλοῦ ποιεῖσθαι.* Pol. VIII. 554. A: *τῷ χρήματα περὶ πλείστου ποιεῖσθαι.* Legg. VI. 771. E: *περὶ παντὸς ποιούμενον ... τὸ μὴ σφάλλεσθαι* cet. Crat. 494. D: *εὐστομίαν περὶ πλείονος ποιούμενοι τῆς ἀληθείας.* Euth. 5. A: *ὅτι ἔγωγε ... τὰ θεῖα περὶ πολλοῦ ἐποιούμην εἰδέναι.* Apol. 32. E. Conv. 180. A: *ὅτι τὸν ἐραστὴν οὕτω περὶ πολλοῦ ἐποιεῖτο.* Euthyd. 283. D: *οἵτινες τὰ παιδικὰ περὶ παντὸς ἂν ποιήσαιντο ἐξολωλέναι.* Theaet. 150. E: *ψευδῆ καὶ εἴδωλα περὶ πλείονος ποιησάμενοι τοῦ ἀληθοῦς.* Phaedr. 231. C: *ὅτι ... ἐκείνους αὐτῶν περὶ πλείονος ποιήσονται.* Pol. III. 386. A: (*τοῖς*) *τὴν ... ἀλλήλων φιλίαν μὴ περὶ σμικροῦ ποιησαμένοις.* **adopto.* Legg. XI. 923. C: *ὃν ἂν* (*τῶν παίδων*) ... *ἑτέρῳ ποιεῖσθαι διδῷ δεχομένῳ.* 929. C. 923. D: *μὴ ἐπί τινι κλήρῳ πεποιημένος.* 924. A: *τὰ ... ἄλλα παραδιδοὺς πάντα τῷ ποιηθέντι.* 929. C: *ἄν τις ... μὴ ἐπιθυμήσῃ θετὸν υἱὸν ποιήσασθαι.* — Verb. Pol. I. 361. C: *ποιητέος ἐναντίως διακείμενος τῷ προτέρῳ.* Conv. 217. A: *ὥστε ποιητέον εἶναι ... ὅ τι κελεύοι Σωκρ.* Pol. I. 341. A: *τοῦτο ... τῷ ἀρχομένῳ ποιητέον.* II. 378. E: *περὶ παντὸς ποιητέον.* Crit. 49. E. Pol. V. 459. E: *θυσίαι καὶ ὕμνοι ποιητέοι τοῖς ἡμετέροις ποιηταῖς* cet.

πολεμικός, ή, όν, *bellicus; bellicosus; rei bellicae* s. *militaris peritus;* fem. *ars bellica.* Pol. II. 374. C: *ὥστε καὶ γεωργῶν τις ἅμα πολεμικὸς ἔσται.* VII. 525. B: *ὁ ... ἡμέτερος φύλαξ πολεμικός τε καὶ φιλόσοφος τυγχάνει ὤν.* Legg. VIII. 829. A: *πολεμικὸς* (*βίος*) ... *ἔξωθέν τε καὶ ἔνδοθεν.* Prot. 322. B: *ἧς* (*πολιτικῆς τέχνης*) *μέρος πολεμική.* Id. Pol. VII. 522. C. Polit. 304. E: *πᾶσα ἡ πολεμικὴ πρᾶξις.* Pol. V. 455. E: *πολεμικὴ* (*γυνή*). Def. 415. C: *πολεμικὴ ἐμπειρία*

πολέμου. Phaedr. 248. D: πολεμικοῦ καὶ ἀρχικοῦ. IX. 583. A. Legg. XII. 943. A: πολεμικοῦ βίου. Polit. 305. B: ξυμπάσης τῆς πολεμικῆς. Pol. II. 374. B. Crat. 407. D: πολεμικῷ θεῷ. Pol. VII. 522. E: πολεμικῷ ἀνδρί. III. 397. E: πρὸς τῇ πολεμικῇ. Legg. VII. 814. D: τῇ πολεμικῇ μάχῃ. Lach. 191. D: ἐν ξύμπαντι τῷ πολεμικῷ εἴδει. Pol. III. 397. E: τὸν πολεμικόν. Legg. I. 643. C. Ep. VII. 348. B: παιῶνά τινα ... πολεμικόν. Soph. 222. C: ξύμπασαν τὴν πολεμικήν. Legg. I. 639. B: ἐὰν τὴν πολεμικὴν ἔχῃ ἐπιστήμην. VIII. 832. D: παιδιὰν πολεμικήν. IX. 865. B: τὴν πολεμικὴν πρᾶξιν. XII. 947. C: τὴν πολεμικὴν σκευὴν ἐνδεδυκότας. VII. 816. B: τὸ ... πολεμικὸν (εἶδος) πυῤῥίχην. Pol. III. 399. A: ἐπὶ πολεμικῶν ἀνδρῶν. Legg. V. 729. D: ἀγώνων πολεμικῶν τε καὶ εἰρηνικῶν. XII. 943. C: εἰς τὰ τῶν πολεμικῶν θεῶν ἱερά. 949. D: πολεμικῶν εἰςφορῶν εἵνεκα. Pol. II. 374. D: ἤ τι ἄλλο τῶν πολεμικῶν ὅπλων τε καὶ ὀργάνων. VIII. 549. A: ἀπὸ ἔργων τῶν ... πολεμικῶν. Legg. XI. 922. A: εἴτε ἀνδρείαις εἴτε πολεμικαῖς μηχαναῖς. Pol. III. 404. A: τοῖς πολεμικοῖς ἀθληταῖς. VII. 521. D. Legg. VIII. 828. D: πολεμικοῖς ἀνθρώποις. Pol. V. 467. C: τοὺς ἄνδρας πολεμικοὺς ἐσομένους. Legg. XII. 943. A: πρὸς τοὺς πολεμικοὺς ἄρχοντας. V. 746. D: τὰς πολεμικὰς τάξεις τε καὶ ἀγωγάς. IX. 878. D. Conv. 174. C: ἀγαθὸν ἄνδρα τὰ πολεμικά. Pol. VII. 526. D. VIII. 549. A: τῶν (ἔργων) περὶ τὰ πολεμικά. Legg. I. 628. D: πρὸς τὰ ἔξωθεν πολεμικὰ ἀποβλέπων μόνον. IV. 706. B: πλοῖα ... πολεμικά. XII. 944. E: ὅπλα πολεμικά. II. 667. A: ὃν ... εἴπομεν ... εἶναι πολεμικώτερον. VIII. 832. E: ἔστι ... πάντων πολεμικώτατον ἡ σώματος ὀξύτης πάντως.

πολέμιος, α, ον, *bellicus; hostilis*, subst. *hostis; inimicus, perniciosus.* Pol. III. 415. E: εἰ πολέμιος ὥσπερ λύκος ἐπὶ ποίμνην τις ἴοι. Crit. 53. B: πολέμιος ἥξεις. Pol. VIII. 567. C: ὥστε τούτοις ἅπασιν ἀνάγκη αὐτῷ ... πολεμίῳ εἶναι. (Legg. XII. 943. A. pro ἐν πολεμίᾳ scrib. videtur ἐμπολέμια.) Soph. 252. C: τὸν πολέμιον καὶ ἐναντιωσόμενον. Legg. IX. 860. B: τὸν τῶν εὖ κειμένων νόμων πολέμιον. Soph. 243. A: πολέμιον αὐτὸ αὑτῷ διὰ νεῖκός τι. Pol. V. 469. D: τὸ πολέμιον νομίζειν τὸ σῶμα τοῦ τεθνεῶτος. IV. 422. E: δύο ... πολεμία ἀλλήλαιν. V. 471. A: σωφρονισταὶ ὄντες, οὐ πολέμιοι. VII. 537. B: κόποι γὰρ καὶ ὕπνοι μαθήμασι πολέμιοι. I. 334. A: τὰ τῶν πολεμίων κλέψαι ... βουλεύματα cet. III. 414. B: τῶν τε ἔξωθεν πολεμίων τῶν τε ἐντὸς φιλίων. Legg. IV. 706. A. Pol. IV. 423. A: πολεμίοις. Legg. VII. 806. B: πολεμίοισι. Phaedr. 260. A: τοὺς πολεμίους ἀμύνειν. Phil. 44. B: τοὺς πολεμίους Φιλήβου τοῦδε. Conv. 221. B: τοὺς φιλίους καὶ τοὺς πολεμίους. Pol. III. 417. B: τοὺς ἔξωθεν πολεμίους. V. 470. C: πολεμίους φύσει εἶναι. Legg. VI. 760. E. Polit. 307. C: πο-

λεμίας ... ἰδέας. Tim. 83. A: *τῷ ... μένοντι κατὰ χώραν πολέμια.* Prot. 334. B: *ἐπεὶ καὶ τὸ ἔλαιον ... ταῖς θριξὶ πολεμιώτατον* cet. Legg. IX. 856. B: *τοῦτον ... διανοεῖσθαι δεῖ πάντων πολεμιώτατον ὅλῃ τῇ πόλει.* Lys. 215. C: *ὅτι ... οἱ ἀγαθοὶ τοῖς ἀγαθοῖς πολεμιώτατοι εἶεν.*

πολεμιστήριος, α, ον, bellicus; neutr. *res* (apparatus) *bellicae.* Critia 119. B: *τὰ ... πολεμιστήρια οὕτω διετέτακτο τῆς βασιλικῆς πόλεως.* A: *ἁρμάτων πολεμιστηρίων* (codd. *πολεμιστήριον.* Fl. X. *ἅρματος πολεμιστηρίου*).

πόλεμος, ὁ, bellum; etiam trop. Polit. 271. E: *πόλεμός τε οὐκ ἐνῆν οὐδὲ στάσις τὸ παράπαν.* Conv. 196. A: *ἀσχημοσύνῃ ... καὶ Ἔρωτι πρὸς ἀλλήλους ἀεὶ πόλεμος.* Pol. V. 470. B: *πόλεμός τε καὶ στάσις.* Ib. *ἐπὶ ... τῇ τοῦ ἀλλοτρίου* (*ἔχθρᾳ*) *πόλεμος* (*κέκληται*). VII. 521. A: *οἰκεῖος ὢν καὶ ἔνδον ὁ τοιοῦτος πόλεμος.* Legg. I. 625. E. Prot. 341. E: *δεινοῦ πολέμου.* Gorg. init. *πολέμου καὶ μάχης ... μεταλαγχάνειν.* Pol. IV. 422. B: *πολέμου ἀθληταί.* Conv. 221. B: *ἐν τῷ πολέμῳ.* Pol. VIII. 543. A: *ἐν πολέμῳ τε καὶ εἰρήνῃ.* Prot. 322. B: *πρὸς ... τὸν τῶν θηρίων πόλεμον.* 359. E: *εἰς τὸν πόλεμον οἱ μὲν ἐθέλουσιν ἰέναι.* Pol. II. 374. D: *ἤ τινος ἄλλης μάχης τῶν κατὰ πόλεμον ἱκανὸς ἔσται ἀγωνιστής.* V. 453. A: *τὸ περὶ τὸν πόλεμον.* 470. C: *πόλεμον τὴν ἔχθραν ταύτην κλητέον.* VIII. 547. A: *ἀεὶ τίκτει πόλεμον καὶ ἔχθραν.* 567. A: *πόλεμον ταράττειν.* Legg. I. 626. A: *πόλεμον ἀκήρυκτον.* III. 702. D: *οὐ πόλεμόν γε ἐπαγγέλλεις* (i. q. *bene nuntias*). X. 905. E: *νόσων πόλεμον εὐλαβουμένοις ἰατροῖς.* Phaed. 66. C: *διὰ ... τὴν τῶν χρημάτων κτῆσιν πάντες οἱ πόλεμοι ἡμῖν γίγνονται.* Legg. V. 741. A: *νόσων ἢ πολέμων φθορά.* Prot. 326. C: *ἐν τοῖς πολέμοις.* Phaed. 66. C: *πολέμους καὶ στάσεις καὶ μάχας.* Pol. V. 460. A: *πρὸς πολέμους τε καὶ νόσους ... ἀποσκοποῦντες.* VIII. 566. E: *πολέμους τινὰς ἀεὶ κινεῖ.* Tim. 88. E: *πολέμους ἐντίκτειν τῷ σώματι καὶ νόσους.*

πολεμῶ, bellum gero, pugno. Soph. 242. C: *πολεμεῖ ... ἀλλήλοις ἐνίοτε αὐτῶν ἄττα πῃ.* Theaet. 180. B: *τούτῳ* (*adversus hoc*) ... *πάνυ πολεμοῦσι.* Pol. II. 378. B: *ὡς θεοὶ θεοῖς πολεμοῦσι.* Euth. 8. A. Prot. 350. A: *ἀπὸ τῶν ἵππων πολεμεῖν.* Pol. IV. 440. A: *τὸν θυμὸν πολεμεῖν ἐνίοτε ταῖς ἐπιθυμίαις.* VIII. 551. D: *πόλεμόν τινα πολεμεῖν.* Tim. 19. C: *ἐν τῷ πολεμεῖν.* Pol. VIII. 555. A: *ὀλίγοις τισὶν ἑαυτοῦ πολεμῶν.* 548. A: *πολεμοῦσα.* Legg. III. 686. B: *πρὸς τὰ δύο μέρη πολεμοῦν.* Alc. I. 120. A: *ἡμῶν τὴν πόλιν ... τῷ μεγάλῳ βασιλεῖ πολεμοῦσαν ἑκάστοτε.* Pol. I. 332. E: *τοῖς μὴ πολεμοῦσιν.* Phaed. 60. C: *βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα.* Pol. V. 469. D: *ᾧ ἐπολέμει.* De lege 320. E: (*ὁ Μίνως*) *πολεμήσας τῇδε τῇ πόλει.* Menex. 242. D: *τοῦτον τὸν πόλεμον πολεμήσαντες.* Pol. II. 373. E: *πολεμήσομεν.* V. 466. E: *ὃν τρόπον πολεμήσουσι.*

470. E: οὐκ ἀεὶ πολεμησόντων. Menex. 243. E: ὁ οἰκεῖος ἡμῖν πόλεμος οὕτως ἐπολεμήθη. Pol. X. 600. A: εὖ πολεμηθείς (πόλεμος). Polit. 304. E: ὡς πολεμητέον ἑκάστοις cet.

πόλησις, ἡ, *conversio*. Crat. 405. C: τὴν ὁμοῦ πόλησιν καὶ περὶ τὸν οὐρανὸν ... καὶ περὶ τὴν ἐν τῇ ᾠδῇ ἁρμονίαν.

πολιανομῶ, *civitati praesum*. Ep. XIII. 363. C: ὃς τότε ... ἐπολιανόμει.

πολίζω, *urbem condo*. Legg. III. 681. E. (Hom.).

πολιορκία, ἡ, *oppugnatio*. Alc. II. 142. A: πολιορκίαν.

πολιορκῶ, *oppugno*; trop. *premo*, *urgeo*. Legg. III. 682. D: τῶν πολιορκούντων. Pol. V. 453. A: ἵνα μὴ ἔρημα τὰ τοῦ ἑτέρου λόγου πολιορκῆται. Prot. 340. A: τὸν Σκάμανδρον πολιορκούμενον ὑπὸ τοῦ Ἀχιλλέως. Alc. II. 142. A: ὑπὸ τῶν συκοφαντῶν πολιορκούμενοι πολιορκίαν cet. Legg. III. 682. D: ὃν (χρόνον) τὸ Ἴλιον ἐπολιορκεῖτο. IV. 708. B: στενοχωρίᾳ τινὶ πολιορκηθὲν γῆς.

πολιός, ά, όν, *canus*; *senilis*. Parm. 127. B: σφόδρα πολιόν (Παρμενίδην). Tim. 22. B: οὐδὲ μάθημα χρόνῳ πολιὸν οὐδέν (ἔχετε). Polit. 273. E: σώματα πολιὰ φύντα.

πολιοῦχος, *urbis custos* s. *servator*. Legg. XI. 921. C: Δία ... πολιοῦχον.

πόλις, ἡ, *urbs*; *civitas* (etiam *cives*); *res publica* (*Staat*). Polit. 302. A: ὡς ἰσχυρόν τι πόλις ἐστὶ φύσει. Pol. IV. 422. E: ἑκάστη ... αὐτῶν πόλεις εἰσὶ πάμπολλαι, ἀλλ' οὐ πόλις. Legg. VI. 766. D: πᾶσα ... πόλις ἄπολις ἂν γίγνοιτο cet. Prot. 318. E: τὰ τῆς πόλεως ... καὶ πράττειν καὶ λέγειν. Gorg. 491. A: οἳ ἂν εἰς τὰ τῆς πόλεως πράγματα φρόνιμοι ὦσιν. Polit. 259. B: σμικρᾶς ... πόλεως ὄγκος. Crit. 50. A: τὸ κοινὸν τῆς πόλεως. Phaedr. 261. D: τῇ πόλει δοκεῖν τὰ αὐτὰ τοτὲ μὲν ἀγαθά, τοτὲ δ' αὖ τἀναντία. Gorg. 469. E: ἐν τῇδε τῇ πόλει (intell. *Athenas*). Id. 517. A. 521. C. Etiam ἐν τῇ πόλει. 518. B. al. Pol. VIII. 543. A: τῇ μελλούσῃ ἄκρως οἰκεῖν πόλει. IX. 592. A: ἐν ᾗ νῦν δὴ διήλθομεν οἰκίζοντες πόλει λέγεις τῇ ἐν λόγοις κειμένῃ. Theaet. 142. A: οὐ γὰρ ἦ κατὰ πόλιν. Conv. 178. D: οὔτε πόλιν οὔτε ἰδιώτην. Pol. II. 369. C: ταύτῃ τῇ ξυνοικίᾳ ἐθέμεθα πόλιν ὄνομα. Legg. II. 666. E: πόλιν ... καὶ ἄστη δυνάμενος διοικεῖν. VI. 773. C: ὅτι πόλιν εἶναι δεῖ δίκην κρατῆρος κεκραμένην. Euth. 2. C: ἔρχεται κατηγορήσων μου ὥσπερ πρὸς μητέρα πρὸς τὴν πόλιν. Prot. 354. B: τῶν πόλεων σωτηρίαι. Conv. 209. A: ἡ περὶ τὰς τῶν πόλεών τε καὶ οἰκήσεων διακοσμήσεις. Pol. I. 338. D. 339. A: ὃ λέγω ἐν ἁπάσαις ταῖς πόλεσι ταὐτὸν εἶναι δίκαιον. Theag. 126. C: καὶ Ἑλληνίσι προσομιλοῦντας πόλεσι καὶ βαρβάροις. Pol. I. 348. D: πόλεις τε καὶ ἔθνη ... ἀνθρώπων. V. 475. D: οὔτε τῶν (Διονυσίων) κατὰ πόλεις οὔτε τῶν κατὰ κώμας ἀπολειπόμενοι. al. Intellig. Alc. III. 142. A: ἐπειδὴ εἰς τὴν ἑαυτῶν κατῆλθον. Euthyd. 279. B: τιμαὶ ἐν τῇ ἑαυτοῦ.

πολιτεία, ἡ, *civitas* et *civitatis forma*; *status* vel *administratio*; *res publica*. Polit. 297. A: ὀρθὴ γίγνοιτ' ἂν πολιτεία. Pol. V. 471. C: ὡς δυνατὴ αὕτη ἡ πολιτεία γενέσθαι. VI. 499. B: ὅτι οὔτε πόλις οὔτε πολιτεία οὐδέ γ' ἀνὴρ ὁμοίως μή ποτε γένηται τέλεος πρὶν ἂν cet. 501. E: (ὅτι) οὐδὲ ἡ πολιτεία ... ἔργῳ τέλος λήψεται. VIII. 558. C: εἴη ἂν ... ἡδεῖα πολιτεία cet. 562. A: ἡ καλλίστη ... πολιτεία (τυραννίς). Legg. III. 698. B: πολιτεία ... ἣν παλαιά. VII. 817. B: πᾶσα ... ἡμῖν ἡ πολιτεία ξυνέστηκε μίμησις τοῦ καλλίστου καὶ ἀρίστου βίου. Menex. 238. C: πολιτεία ... τροφὴ ἀνθρώπων ἐστί, καλὴ μὲν ἀγαθῶν, ἡ δὲ ἐναντία κακῶν. Ax. 368. C: ἡ πολυτίμητος πολιτεία. Gorg. 510. A: τῆς ὑπαρχούσης πολιτείας ἑταῖρον εἶναι. Pol. VI. 497. A: μὴ τυχὼν πολιτείας προσηκούσης. 501. A: τὸ σχῆμα τῆς πολιτείας. VII. 502. B: ἀκούσης τῆς ἐν ἑκάστῃ (πόλει) πολιτείας. X. 608. B: περὶ τῆς ἐν αὑτῷ πολιτείας δεδιότι. Critia 109. D: τὴν τῆς πολιτείας τάξιν. Legg. III. 678. C: πόλεως ... καὶ πολιτείας πέρι καὶ νομοθεσίας cet. IV. 710. E: ἐκ βασιλικῆς πολιτείας. VI. 756. E: μοναρχικῆς καὶ δημοκρατικῆς πολιτείας. XII. 965. C: τοὺς τῆς θείας πολιτείας ἡμῖν φύλακας. Ep. VII. 326. D: δικαίου ... καὶ ἰσονόμου πολιτείας ... μηδ' ὄνομα ἀκούοντας ἀνέχεσθαι. Gorg. 512. E: ἆρα ἐξομοιῶν αὑτὸν τῇ πολιτείᾳ ταύτῃ —; Pol. VIII. 564. B: ἐν πάσῃ πολιτείᾳ ἐγγιγνομένῳ. X. 619. C: ἐν τεταγμένῃ πολιτείᾳ ... βεβιωκότα. Critia 112. B: πάντα ὅσα πρέποντα ἦν τῇ κοινῇ πολιτείᾳ. Crit. 53. B: πολέμιος ἥξεις ... τῇ τούτων πολιτείᾳ. Polit. 301. A: τότε ἀριστοκρατίαν καλοῦμεν τὴν τοιαύτην πολιτείαν. Pol. VI. 497. B: εἰ ... λήψεται τὴν ἀρίστην πολιτείαν. VII. 536. B: τήν τε πόλιν καὶ πολιτείαν σώσομεν. VIII. 550. C: τὴν ἀπὸ τιμημάτων ... πολιτείαν. IX. 590. E: ἕως ἂν ἐν αὐτοῖς ὥσπερ ἐν πόλει πολιτείαν καταστήσωμεν. X. 605. B: ταὐτὸν καὶ τὸν μιμητικὸν ποιητὴν φήσομεν κακὴν πολιτείαν ἰδίᾳ ἑκάστου τῇ ψυχῇ ἐμποιεῖν. Legg. II. 666. E: στρατοπέδου γὰρ πολιτείαν ἔχετε. VI. 796. D: χρήσιμοι εἴς τε πολιτείαν καὶ ἰδίους οἴκους. Polit. 271. E: πολιτεῖαι ... οὐκ ἦσαν. Tim. 23. C: πολιτεῖαι ... κάλλισται. Menex. 238. E: ὥστε αὐτῶν ἀνώμαλοι καὶ αἱ πολιτεῖαι. Pol. IV. 445. C: πέντε (τρόποι) ... πολιτειῶν. VI. 492. E: ἐν τοιαύτῃ καταστάσει πολιτειῶν. Legg. III. 693. D: εἰσὶ πολιτειῶν οἷον μητέρες δύο τινές cet. Ep. V. 321. D: ἔστι ... τις φωνὴ τῶν πολιτειῶν ἑκάστης, καθαπερεί τινων ζώων cet. E. VII. 332. E: νόμοις τε ... καὶ πολιτείαις. Pol. VIII. 544. B: τίνας ἔλεγες τὰς τέτταρας πολιτείας. Ax. 370. B: καταστήσασθαι ... πολιτείας.

πολίτευμα, τό, *administratio civilis*. Legg. XII. 945. D: λυθείσης τῆς τὰ πάντα πολιτεύματα ξυνεχούσης εἰς ἓν δίκης.

πολιτεύομαι, *civis sum*, *civem me gero* et in univ. *vivo*; *institutis* vel *legibus utor*; *res publicas gero*; pass. *administror* vel

regor. Pol. VIII. 561. D: *πολλάκις δὲ πολιτεύεται.* Legg. III. 701. E: *ποτέρα τούτων ὀρθῶς πολιτεύεται.* Menex. 238. C: *ἐν ᾗ νῦν ... πολιτευόμεθα.* Pol. VIII. 568. B: *ὅσοι ἡμῶν ἐγγὺς πολιτεύονται.* Gorg. 515. B: *ὅντινά ποτε τρόπον οἴει δεῖν πολιτεύεσθαι ἐν ἡμῖν.* Crit. 52. C: *ὡμολόγεις καθ' ἡμᾶς πολιτεύεσθαι.* D: *καθ' ἃς (ὁμολογίας) ἡμῖν ξυνέθου πολιτεύεσθαι.* Ep. VII. 331. C. Pol. IX. 579. C: *κακῶς ἐν ἑαυτῷ πολιτευόμενος.* V. 462. D: *τοῦ τοιούτου ἐγγύτατα ἡ ἄριστα πολιτευομένη πόλις οἰκεῖ.* Charm. 171. E. Legg. I. 626. B: *ὃν ... ὅρον ἔθου τῆς εὖ πολιτευομένης πόλεως.* Pol. IV. 427. A: *οὔτ' ἐν κακῶς οὔτ' ἐν εὖ πολιτευομένῃ πόλει.* VIII. 549. C. IV. 426. B: *ὅσαι (πόλεις) κακῶς πολιτευόμεναι* cet. Legg. III. 676. B: *ἀφ' οὗ πόλεις τ' εἰσὶ καὶ ἄνθρωποι πολιτευόμενοι.* I. 635. E: *(ἐν) ταῖς τῶν εἰκῇ πολιτευομένων (πολιτείαις).* XII. 950. A: *τοῖς εὖ πολιτευομένοις διὰ νόμων ὀρθῶν.* Pol. IV. 426. B: *σφᾶς οὕτω πολιτευομένους.* Legg. III. 676. B: *πεπολιτευμέναι ... πάσας πολιτείας.* 693. E: *ὡς οὐκ ἄν ποτε τούτων πόλις ἄμοιρος γενομένη πολιτευθῆναι δύναιτ' ἂν καλῶς.*

πολίτης, ὁ, fem. *πολῖτις, ἡ, civis* (germ. *Bürger* et *Mitbürger, Landsmann*). Prot. 339. E: *σὸς μέντοι Σιμωνίδης πολίτης.* Gorg. 517. C: *ὅπερ μόνον ἔργον ἐστὶν ἀγαθοῦ πολίτου.* De lucri cup. 228. B: *πολίτῃ ... ἐμῷ τε καὶ σῷ.* Legg. I. 629. A: *τῶνδε ... πολίτην γενόμενον.* 630. A: *πολίτην τῶν ἐν Σικελίᾳ Μεγαρέων.* Prot. 315. C: *πολῖται αὐτοῦ Ἀθηναῖοι, οἱ σοὶ πολῖται.* Gorg. 517. B: *ὅθεν ἔμελλον ἀμείνους ἔσεσθαι οἱ πολῖται.* Pol. V. 462. B. Apol. 37. C: *ὑμεῖς ... ὄντες πολῖταί μου.* Phaedr. 57. A: *τῶν πολιτῶν Φλιασίων.* Pol. I. 344. B. Tim. 23. D: *τὰ περὶ τῶν πάλαι πολιτῶν.* Pol. VI. 501. E: *οὔτε πόλει οὔτε πολίταις.* Men. 71. B: *τοῖς πολίταις τούτου.* Polit. 293. D: *πολίτας ποιοῦντες.* Pol. V. 463. A. Legg. VII. 814. C: *πάντας τοὺς πολίτας καὶ τὰς πολίτιδας.*

πολιτικός, ή, όν, civilis; rerum civilium studiosus vel *peritus, in rebus publ. versatus;* fem. *ratio civilis.* Gorg. 452. E: *ὅστις ἂν πολιτικὸς ξύλλογος γίγνηται.* 513. B: *ὡς ἐπιθυμεῖς πολιτικὸς εἶναι.* Legg. I. 628. D. Alc. I. 133. E: *ἀνὴρ πολιτικός.* Def. 415. C: *πολιτικὸς ἐπιστήμων πόλεως κατασκευῆς.* Polit. 267. D: *ἡ πολιτική.* Pol. V. 473. D: *δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία.* Euthyd. 291. C: *ἔδοξε ... ἡμῖν ἡ πολιτικὴ καὶ ἡ βασιλικὴ τέχνη ἡ αὐτὴ εἶναι.* 306. B: *ἡ πολιτικὴ πρᾶξις.* Polit. 267. C: *ἅμα βασιλικὸν ταὐτὸν κληθὲν καὶ πολιτικόν.* Legg. VII. 815. D: *ὡς οὐκ ἔστι πολιτικὸν τοῦτο τῆς ὀρχήσεως τὸ γένος.* Phaedr. 258. A: *ἀνδρὸς πολιτικοῦ.* Pol. VII. 521. B: *βίον ἀμείνω τοῦ πολιτικοῦ.* Legg. V. 642. D: *τοῦ νοῦν ἔχοντος πολιτικοῦ.* Euthyd. 305. C: *οὓς ἔφη Πρόδικος μεθόρια φιλοσόφου τε ἀνδρὸς καὶ πολιτικοῦ.* Polit. 303. E: *πολιτικῆς ἐπιστήμης.*

304. E: *κεχωρίσθαι πολιτικῆς τὸ ῥητορικόν*. Legg. I. 650. B. Apol. 20. B: *τῆς ἀνθρωπίνης τε καὶ πολιτικῆς* (*ἀρετῆς*). Legg. XII. 959. E: *τῷ ... πολιτικῷ νόμῳ νομοθετοῦντι παραχωρεῖν χρὴ τὰ τοιάδε*. Gorg. 521. D: *ἐπιχειρεῖν τῇ ὡς ἀληθῶς πολιτικῇ τέχνῃ*. Legg. V. 736. B: *ἐν πάσῃ κατασκευῇ πολιτικῇ*. Men. 99. B: *ἐν πολιτικῇ πράξει*. Soph. 217. A: *σοφιστήν, πολιτικόν, φιλόσοφον*. Polit. 257. A. B: *τὸν πολιτικὸν ἄνδρα*. Legg. XII. 962. A: *τὸν σκοπὸν ... πολιτικόν*. Prot. 319. A: *τὴν πολιτικὴν τέχνην*. 321. D: *τὴν ... πολιτικὴν* (*σοφίαν*). Gorg. 464. B: *τὴν ... ἐπὶ τῇ ψυχῇ* (*τέχνην*) *πολιτικὴν καλῶ*. Phaed. 82. A: *τὴν δημοτικήν τε καὶ πολιτικὴν ἀρετήν*. Polit. 276. E: *προςειπόντες πολιτικήν*. Phaedr. 258. D: *εἴτε πολιτικὸν σύγγραμμα εἴτε ἰδιωτικόν*. Phaed. 82. B: *εἰς τοιοῦτον ... πολιτικόν τε καὶ ἥμερον γένος*. Pol. IV. 443. E: *περὶ πολιτικόν τι*. Legg. III. 697. C: *οὔθ' ὅσιον οὔτε πολιτικὸν ἂν δρῴη πρᾶγμα*. Alc. II. 145. E: *πολιτικὸν φύσημα φυσώντων*. Ax. 368. D: *'Αξίοχε πολιτικέ*. Gorg. 519. C: *ὅσοι τε πολιτικοὶ προςποιοῦνται εἶναι καὶ ὅσοι σοφισταί*. Soph. 216. C: *τοτὲ μὲν πολιτικοὶ φαντάζονται* cet. Pol. IV. 426. D. Gorg. 473. E: *οὐκ εἰμὶ τῶν πολιτικῶν*. Pol. IV. 424. C: *ἄνευ πολιτικῶν νόμων τῶν μεγίστων*. Tim. 19. E. Apol. 21. C. Conv. 184. A: *ὑπὸ πολιτικῶν δυνάμεων ἁλῶναι*. Pol. VII. 521. B: *πολιτικῶν ἀρχῶν*. Hipp. mai. 281. C: *ἀπεχόμενοι τῶν πολιτικῶν πράξεων*. Legg. VII. 808. B: *πράττειν τῶν τε πολιτικῶν μέρη πολλὰ καὶ τῶν οἰκονομικῶν*. Phaedr. 278. C: *ἐν πολιτικοῖς λόγοις νόμους ὀνομάζων*. Legg. III. 693. A: *τοῖς τε πάλαι πολιτικοῖς λεγομένοις ... καὶ τοῖς νῦν*. Theaet. 176. C: *ἐν ... πολιτικαῖς δυναστείαις*. Legg. XII. 950. E: *ἐν ἐκδημίαις πολιτικαῖς*. Gorg. 527. D: *ἐπιθησόμεθα τοῖς πολιτικοῖς*. Polit. 267. E: *τοῖς περὶ τἀνθρώπινα νομεῦσιν, οὓς πολιτικοὺς ἐκαλέσαμεν*. 303. C: *ὡς οὐκ ὄντας πολιτικούς, ἀλλὰ στασιαστικούς*. Pol. VI. 489. C: *τοὺς νῦν πολιτικοὺς ἄρχοντας*. Legg. IV. 722. E. Menex. 249. E: *λόγους ... πολιτικούς*. Conv. 184. B: *εἰς διαπράξεις πολιτικάς*. Prot. 324. C: *συμβουλεύοντος τὰ πολιτικά*. Gorg. 521. D: *πράττειν τὰ πολιτικά*. Pol. III. 407. D: *ἵνα μὴ τὰ πολιτικὰ βλάπτοι* (*ut ne rei publicae commodis officeret*). Apol. 31. D: *πράττειν τὰ πολιτικὰ πράγματα*. Theag. 126. A: *ὅσοι τὰ πολιτικὰ δεινοὶ γεγόνασιν*. Ep. VII. 325. B: *ἡ περὶ τὸ πράττειν τὰ κοινὰ καὶ πολιτικὰ ἐπιθυμία*. D: *τὰ πολιτικὰ διοικεῖν*. 326. A: *τά τε πολιτικὰ δίκαια καὶ τὰ τῶν ἰδιωτῶν πάντα κατιδεῖν*.

πολιτοφθόρος, ὁ ἡ, *civitati perniciosus*. Legg. IX. 854. C: *ὅσα ἀνόσια ἔργα καὶ πολιτοφθόρα*.

πολίχνιον, τό, *oppidulum*. Pol. II. 370. D: *κοινωνοὶ ἡμῖν τοῦ πολιχνίου γιγνόμενοι*.

πολλάκις, *compluries* vel *pluries* (germ. *mehr als einmal*).

Theaet. 175. A: πολλάκις μυρίοι. Crat. 404. C: εἰ πολλάκις λέγοις τὸ τῆς Ἥρας ὄνομα. Conv. 179. A: πρὸ τούτου τεθνάναι ἂν πολλάκις ἕλοιτο. Pol. I. 330. B: πολλάκις τοσαύτην ἐποίησε. Legg. IV. 706. C: οὐκ ἄξια ἐπαίνων πολλάκις μυρίων. al. Etiam *multis modis*. Polit. 290. B: ὅσοι ... περὶ γράμματα σοφοὶ γίγνονται πολλάκις ὑπηρετήσαντες. Critia 121. A: πολλῷ τῷ θνητῷ καὶ πολλάκις ἀνακεραννυμένη. In tempore pos. est *saepe*, *frequenter*. Prot. 327. C: πολλάκις ... ἀγαθοῦ αὐλητοῦ (υἱὸς) φαῦλος ἂν ἀπέβη. Phaed. 88. E: πολλάκις θαυμάσας Σωκράτη cet. Phil. 40. D: πολλάκις δὲ καὶ ἴσως πλειστάκις ἐπὶ τοῖς μηδὲ μέλλουσί ποτε γενήσεσθαι. Conv. 215. E: πολλάκις ... οὕτω διετέθην. Pol. I. 329. A: πολλάκις ... συνερχόμεθα cet. al. Quia vero quod frequenter fit id facile iterum fieri suspicamur, etiam in eo ponitur quod ne fiat veremur vel cautum volumus; germ. *vielleicht*, *etwa*, lat. *forte*; praec. post coniunctt. ἄν, εἰ, μή. Prot. 361. C: μὴ πολλάκις ἡμᾶς ... σφήλῃ. Pol. IV. 424. C: μὴ πολλάκις τὸν ποιητήν τις οἴηται cet. IX. 584. B: μὴ πολλάκις οἰηθῇς cet. Critia 112. E. Alc. I. 127. E. Theag. 122. A: ἵνα μὴ πολλάκις ... διαφθαρῇ. B: μὴ γὰρ πολλάκις ἐγὼ μὲν ἄλλο τι αὐτὸ ὑπολαμβάνω cet. Amplificatur part. ἄρα adiuncta. Phaedr. 238. C: ἐὰν ἄρα πολλάκις νυμφόληπτος ... γένωμαι. Phaed. 60. E: εἰ ἄρα πολλάκις ταύτην τὴν μουσικήν μοι ἐπιτάττοι ποιεῖν. 61. A. Polit. 264. B: εἴ τινων πολλάκις ἄρα διακήκοας. 283. B: ἂν ἄρα πολλάκις ὕστερον ἐπίῃ. Lach. 179. B. 194. A: εἰ ἄρα πολλάκις αὐτὴ ἡ καρτέρησίς ἐστιν.

πολλαπλάσιος, α, ον, *multo maior*, pl. *multo plures* et simpl. *plures*; *multiplicatus*. Ep. VII. 333. A: οὐ διπλασίαν τὴν πατρῴαν ἀρχὴν μόνον ποιήσοι (v. ποιήσει), πολλαπλασίαν δὲ ὄντως. Polit. 300. B: ἁμαρτήματος ἁμάρτημα πολλαπλάσιον ἀπεργαζόμενος. Pol. VII. 530. C: ἢ πολλαπλάσιον ... τὸ ἔργον ἢ ὡς νῦν ἀστρονομεῖται προστάττεις. 534. A: ἵνα μὴ ἡμᾶς πολλαπλασίων λόγων ἐμπλήσῃ ἢ ὅσων οἱ παρεληλυθότες. VIII. 555. E: τοῦ πατρὸς ἐκγόνους τόκους πολλαπλασίους κομιζόμενοι. IV. 423. B: δοκούσας ... πολλὰς καὶ πολλαπλασίας τῆς τηλικαύτης (πόλεως).

πολλαπλασιῶ, *multiplico*. Pol. VII. 525. E: ἐκεῖνοι πολλαπλασιοῦσιν.

πολλαπλασίωσις, ἡ, *multiplicatio*. Pol. IX. 587. E: τελεωθείσῃ τῇ πολλαπλασιώσει.

πολλαπλοῦς, ῆ, οῦν, *multiplex*. Pol. III. 397. E: ὅτι οὐκ ἔστι διπλοῦς ἀνὴρ παρ' ἡμῖν οὐδὲ πολλαπλοῦς. Etiam *multo longior*. Tim. 75. B: βίον ... διπλοῦν καὶ πολλαπλοῦν καὶ ὑγιεινότερον cet.

πολλαχῇ, *multis modis* vel *partibus*, etiam *multis de causis*; *omni modo*, *prorsus*. Prot. 346. D: γελοῖον γὰρ ἂν εἴη πολλαχῇ. (Id. Theaet. 158. E.) 354. E: τίνος ... ἕνεκα πολλὰ

περὶ τούτου λέγεις καὶ πολλαχῇ. Phaedr. 265. D: τὰ πολλαχῇ διεσπαρμένα. Theaet. 179. C: πολλαχῇ ... ἄλλῃ. Parm. 138. A: ἀδύνατον πολλαχῇ κύκλῳ ἅπτεσθαι. Conv. 178. A: πολλαχῇ μὲν καὶ ἄλλῃ, οὐχ ἥκιστα δὲ κατὰ τὴν γένεσιν. Pol. IV. 491. A: πολλαχῇ πλημμελοῦσαι. VII. 525. D: πολλαχῇ χρήσιμον ἡμῖν πρὸς ὃ βουλόμεθα. 538. D: πολλάκις καὶ πολλαχῇ ἐλέγχων. X. 596. D: πολλαχῇ καὶ ταχὺ δημιουργούμενος. Legg. III. 678. E. Lach. 181. E. al.

πολλαχόθεν, *multis ex partibus* vel *locis*. Conv. 178. C: οὕτω πολλαχόθεν ὁμολογεῖται ὁ Ἔρως ἐν τοῖς πρεσβύτατος εἶναι. Legg. VIII. 842. C: βίος ... ἄλλαις μὲν πόλεσι παντοδαπῶς (v. παντοδαπὸς) ἂν καὶ πολλαχόθεν εἴη. Ep. VII. 333. A: ὡς πολλαχόθεν ἐχώρουν οἱ τοιοῦτοι λόγοι.

πολλαχόσε, *in multa loca* vel *regiones*. Menex. 241. E: οἱ εἰς Αἴγυπτον πλεύσαντες καὶ ἄλλοσε πολλαχόσε.

πολλαχοῦ, *multis locis, passim; saepius*. Prot. 329. C: πολλαχοῦ ἐν τοῖς λόγοις ἐλέγετο ὑπὸ σοῦ cet. Gorg. 483. D: δηλοῖ ... ταῦτα πολλαχοῦ ὅτι οὕτως ἔχει. Crat. 408. A: οἷον καὶ Ὅμηρος πολλαχοῦ λέγει. Conv. 209. E: καὶ ἄλλοι ἄλλοθι πολλαχοῦ ἄνδρες. Pol. III. 414. C: ἤδη πολλαχοῦ γεγονός. Tim. 20. E. Legg. I. 639. D. Apol. 31. C: ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολλαχοῦ λέγοντος ὅτι cet. Crit. 45. C: πολλαχοῦ ... καὶ ἄλλοσε ὅποι ἂν ἀφίκῃ ἀγαπήσουσί σε cet. Alc. I. 132. D.

πολλοστός, ή, όν, *minimus*. Legg. X. 896. B: ὁπόσων ἀριθμῶν βούλοιτο ἄν τις ἀριθμεῖν αὐτὴν πολλοστήν, τοσούτων (πολλοστή). Phil. 44. E: οὐκ εἰς τὰς πολλοστὰς ἡδονὰς ἀποβλεπτέον. Ib. πρὸς τὰ πολλοστὰ σκληρότητι (*ea quae minima sunt duritia*).

πόλος, ὁ, *axis*. Tim. 40. B: περὶ τὸν διὰ παντὸς πόλον τεταμένον. Crat. 405. C: οὓς δὴ πόλους καλοῦσι. Etiam *orbis* (Epin. 986. C: ἐν ᾧ διεξέρχεται τὸν αὑτοῦ πόλον) et *caelum* (Ax. 371. B: τοῦ ... πόλου ὄντος σφαιροειδοῦς).

πολυάρατος, ὁ ἡ, *exoptandus*. Theaet. 165. E: τὴν πολυάρατον (πολυάῤῥατον? Buttm. coni. πολύκροτον) σοφίαν.

πολυβορος, ὁ ἡ, *vorax*. Critia 115. A: πολυβορωτάτῳ (ζώῳ).

πολύγηρως, ὁ ἡ, *admodum senex*. Ax. 367. B: ἄλλοι πολυγήρως (sic codd. pro vulg. πολὺ γῆρως. An πολυγήρῳ?) ἀκμάζουσι.

πολυγνώμων, ὁ ἡ, *admodum intelligens*. Phaedr. 275. A: πολυγνώμονες εἶναι δόξουσιν.

πολυγονία, ἡ, *prolis ubertas*. Prot. 321. B: τοῖς δ' ἀναλισκομένοις ὑπὸ τούτων πολυγονίαν (προσῆψε).

πολυδικῶ, *multas actiones intendo*. Legg. XI. 938. B: παρὰ καιρὸν πολυδικεῖν.

πολυειδής, ὁ ἡ, *multiformis, varius*. Pol. X. 612. A: εἴτε πολυειδὴς εἴτε μονοειδής. Phaedr. 238. A: πολυειδές.

270. D: ἁπλοῦν ἢ πολυειδές ἐστιν. Soph. 221. E. Phaed. 80. B: (τῷ) πολυειδεῖ ... ὁμοιότατον αὖ εἶναι τὸ σῶμα. Pol. IX. 590. A: τὸ δεινὸν ... καὶ πολυειδὲς θρέμμα. Locr. 101. B: πολυειδέστατον καὶ ποικιλώτατον (γένος).

πολυειδία, ἡ, *varietas*. Pol. IX. 580. D: διὰ πολυειδίαν.

πολυήκοος, ὁ ἡ, *qui multa audivit* vel *legit*, *multarum rerum gnarus*. Phaedr. 275. A: πολυήκοοι ... γενόμενοι ἄνευ διδαχῆς. Legg. VII. 810. E: πολυηκόους τ' ἐν ταῖς ἀναγνώσεσι ποιοῦντας καὶ πολυμαθεῖς.

πολυθεάμων, ὁ ἡ, *qui multa spectavit*. Phaedr. 251. A: ὁ τῶν τότε πολυθεάμων.

πολυθρύλητος, ὁ ἡ, *multum celebratus*, *notissimus*. Pol. VIII. 566. B: τὸ ... τυραννικὸν αἴτημα τὸ πολυθρύλητον (sic Par. A. c. al. Vulgo πολυθρύλλητον). Phaed. 100. B: εἶμι πάλιν ἐπὶ τὰ πολυθρύλητα (v. πολυθρύλλητα).

πολύκαρπος, ὁ ἡ, *fecundus*. Tim. 86. C: πολυκαρπότερον (σπέρμα).

πολυκέφαλος, ὁ ἡ, *multa habens capita*. Soph. 240. C: ὁ πολυκέφαλος σοφιστής. Pol. IX. 588. C: θηρίου ποικίλου καὶ πολυκεφάλου. 589. B: τοῦ πολυκεφάλου θρέμματος.

πολύκλαυτος, ὁ ἡ, *multum defletus*. Phaedr. 264. D. (epigr.).

πολυλογία, ἡ, *loquacitas*. Legg. I. 641. E: πολυλογίαν.

πολυλόγος, ὁ ἡ, *loquax*. Legg. I. 641. E: πολυλόγος (Par. A. c. al. πολύλογος).

πολυμάθεια, vid. πολυμαθία.

πολυμαθής, ὁ ἡ, *multarum rerum peritus*. Legg. VII. 810. E: πολυηκόους ... καὶ πολυμαθεῖς.

πολυμαθία, ἡ, *multarum rerum cognitio*. Legg. VII. 819. A: ἡ πολυπειρία καὶ πολυμαθία. Riv. 139. A. (v. φιλομάθεια). Legg. VII. 811. A: ἐκ ... πολυμαθίας. B: τὴν πολυμαθίαν. Alc. II. 147. A: ὁ ... τὴν καλουμένην πολυμαθίαν (sic codd. fere omnes. Vulgo πολυμάθειαν) ... κεκτημένος. Riv. 133. C: εἰ τὴν φιλοσοφίαν πολυμαθίαν ἡγοῖτο εἶναι. E.

πολυμελής, ὁ ἡ, *multa habens membra*. Phaedr. 238. A: πολυμελὲς γὰρ καὶ πολυειδές.

πολυμερής, ὁ ἡ, *multis constans partibus*. Locr. 98. D: ὕδατος στοιχεῖον πολυμερέστατον.

πολυμήχανος, ὁ ἡ, *versutus*. Hipp. min. 365. A. (Hom.).

πολύνοια, ἡ, *intelligentiae copia*. Legg. I. 641. E: τὴν δὲ (Κρήτην) πολύνοιαν μᾶλλον ἢ πολυλογίαν ἀσκοῦσαν.

πολυοινία, ἡ, *vinolentia*. Legg. II. 666. B: μέθης ... καὶ πολυοινίας.

πολυπειρία, ἡ, *multarum rerum peritia*. Legg. VII. 819. A: ἡ πολυπειρία καὶ πολυμαθία. 811. A: ἐκ πολυπειρίας.

πολυπίδακος, ὁ ἡ, *fontibus scaturiens*. Legg. III. 681. E. (Hom.).

πολυπλανής, ὁ ἡ, *pervagans*. Polit. 288. A: πολυπλανές (εἶδος).

πολύπλοκος, ὁ ἡ, *admodum contextus*. Phaedr. 230. A: Τυφῶνος πολυπλοκώτερον.

πολυπονία, ἡ, *laboris copia*. Riv. 133. E: ἆρ' οὖν καὶ ἐν τοῖς γυμνασίοις τὴν πολυπονίαν φιλογυμναστίαν ἡγεῖ εἶναι;

πολύπονος, ὁ ἡ, *laboriosus*. Legg. I. 633. B: κρυπτεία τις ὀνομάζεται θαυμαστῶς πολύπονος πρὸς τὰς καρτερήσεις.

πολύπους, ὁ ἡ, *multipes*. Tim. 92. A: τετράπουν τε τὸ γένος αὐτῶν ... ἐφύετο καὶ πολύπουν. Epin. 981. D: πάντα ... ὅσα πολύποδα καὶ ἄποδα.

πολυπραγμονῶ, *aliena negotia* vel *res nihil ad me pertinentes curo* vel *gero*. Pol. IV. 433. A: τὸ τὰ αὑτοῦ πράττειν καὶ μὴ πολυπραγμονεῖν. 443. D. VIII. 551. E. Legg. XII. 952. D: πολυπραγμονῶν τι περὶ τὴν παιδείαν καὶ τοὺς νόμους. Apol. 31. C. Riv. 137. B: οὐδὲ πολυπραγμονοῦντα κυπτάζοντα ζῆν. Pol. IV. 433. D: ὅτι τὸ αὑτοῦ ἕκαστος εἷς ὢν ἔπραττε καὶ οὐκ ἐπολυπραγμόνει. Charm. 161. D: ἢ οὖν ἐπολυπραγμονεῖτε —; Gorg. 526. C: φιλοσόφου τὰ αὑτοῦ πράξαντος καὶ οὐ πολυπραγμονήσαντος. **curiosius aliquid expendo; curiose me gero* (germ. *vorwitzig seyn*). Parm. 137. B: ἥκιστα γὰρ ἂν πολυπραγμονοῖ. Theaet. 184. E: ἐμὲ ὑπὲρ σοῦ πολυπραγμονεῖν. Legg. VII. 821. A: οὔτε πολυπραγμονεῖν (δεῖν) τὰς αἰτίας ἐρευνῶντας.

πολυπραγμοσύνη, ἡ, *rerum alienarum curatio* vel *tractatio*. Pol. IV. 434. B: ἡ τριῶν ... ὄντων γενῶν πολυπραγμοσύνη. 444. B: πολυπραγμοσύνην καὶ ἀλλοτριοπραγμοσύνην.

στρογγύλος, η, ον, *rotundus; globosus.* Phaed. 97. D: *πότερον ἡ γῆ πλατεῖά ἐστιν ἢ στρογγύλη.* Hipp. mai. 288. D: *στρογγύλη* (*χύτρα*). Conv. 189. E: *ὅλον ἦν ἑκάστου τοῦ ... ὤπου τὸ εἶδος στρογγύλον.* Ep. VII. 342. B: *ἐκείνου ... στρογγύλον καὶ περιφερὲς ὄνομα καὶ κύκλος.* Parm.

137. E: στρογγύλου (σχήματος). Men. 75. A: τί ἐστιν ἐπὶ τῷ στρογγύλῳ καὶ εὐθεῖ cet. 74. D: ὃ οὐδὲν ἧττον κατέχει τὸ στρογγύλον ἢ τὸ εὐθύ. Ib. τὸ στρογγύλον σχῆμα. Phaedr. 234. E: ὅτι σαφῆ καὶ στρογγύλα ... ἕκαστα τῶν ὀνομάτων ἀποτετόρνευται. Tim. 73. D: ἅμα στρογγύλα καὶ προμήκη διῃρεῖτο σχήματα. Ep. VII. 343. B.

στρογγυλότης, ἡ, *rotunditas*. Men. 74. B: στρογγυλότης. 73. E: στρογγυλότητος πέρι.

στροφή, ἡ, *flexio*. Euthyd. 302. B: ἄπορόν τινα στροφὴν ... ἐστρεφόμην ἤδη. Pol. III. 405. C: πάσας ... στροφὰς στρέφεσθαι. Tim. 43. D: πάσας ... στρέψαι στροφάς. * *conversio*. Legg. VI. 782. A: στροφὰς ὡρῶν παντοίας.

στρόφιγξ, ὁ, *cardo*. Tim. 74. A: σφονδύλους πλάσας ὑπέτεινεν οἷον στρόφιγγας. C: ἵνα ... περὶ τοὺς στρόφιγγας καμπτόμενον τὸ σῶμα καὶ ἐκτεινόμενον παρέχοι.

στρυφνός, ὁ ἡ, *acerbus*. Locr. 101. C: τὸ ... στρυφνὸν συνάγεν τὰν γεῦσιν (πέφυκε). Tim. 65. D: τραχύτερα ... ὄντα στρυφνὰ (φαίνεται). Locr. 100. E. Tim. 67. D: τοῖς περὶ τὴν γλῶτταν στρυφνοῖς.

στρῶμα, τό, *vestis stragula*, *stratum*. Eryx. 393. B: ἱμάτια ... ἢ στρώματα. Polit. 280. B: τὴν τῶν στρωμάτων σύνθεσιν. Prot. 315. D: ἐγκεκαλυμμένος ἐν κωδίοις τισὶ καὶ στρώμασι καὶ μάλα πολλοῖς. Eryx. 402. B. Gorg. 517. D: ἱμάτια, στρώματα, ὑποδήματα.

στρωματόδεσμος, ὁ, *saccus in quem vestes stragulae constipantur*. Theaet. 175. E: οἷον στρωματόδεσμον μὴ ἐπιστάμενος συσκευάσασθαι (Lat. *sarcinas colligere*, germ. *einpacken*).

στρωμνή, ἡ, i. q. στρῶμα. Prot. 321. A: ὅπως ὑπάρχοι τὰ αὐτὰ ταῦτα στρωμνὴ οἰκεία τε καὶ αὐτοφυὴς ἑκάστῳ. Legg. III. 679. A: στρωμνῆς. Prot. 322. A: στρωμνάς.

στρώννυμι, *sterno*. Pol. II. 372. B: ἐστρωμένων σμίλακί τε καὶ μυῤῥίναις.

στυγῶ, *odi*. Pol. III. 386. D. (Hom.).

στυπτηρία, ἡ, *alumen*. Locr. 99. D: ἅλες, στυπτηρία.

στύραξ, ὁ, *hastile* (pars ima hastae, vern. *Schaft*). Lach. 183. E: ἕως ἄκρου τοῦ στύρακος ἀντελάβετο.

στωμύλος, ὁ ἡ, *garrulus*. Eryx. 397. D: μειράκιον ... στωμύλον.

σύ, *tu*; σοῦ, σοί cet.

συβώτης, ὁ, *subulcus*. Theaet. 174. D: συβώτην. Pol. II. 373. C: συβωτῶν.

συγγένεια (et ξυγγ.), ἡ, *affinitas*, *cognatio*; etiam *gens* vel *familia*. Gorg. 472. B: ἡ Περικλέους ὅλη οἰκία ἢ ἄλλη συγγένεια. Conv. 178. C: οὔτε ξυγγένεια ... οὔτε τιμαὶ cet. Pol. VI. 491. C: ξυγγένεια ἐῤῥωμένη ἐν πόλει. Legg. I. 627. C: ἥ τε οἰκία καὶ ἡ ξυγγένεια αὕτη πᾶσα. X. 899. D: συγγένειά τις ἴσως σε θεία πρὸς τὸ ξύμφυτον ἄγει. Ep. VIII. 353. A: νῦν ὑμῖν καὶ τοῖς πολεμίοις σχεδὸν ... συγγέ-

νεια ἄρχει μία διὰ τέλους. Tim. 91. E: *ἑλκόμενα ὑπὸ ξυγγενείας.* Legg. IX. 873. A: *πρὶν (πρὶν ἂν?) ... πάσης τῆς ξυγγενείας τὸν θυμὸν ... κοιμίσῃ.* 874. A: *ὑπὲρ αὑτοῦ τε καὶ ὑπὲρ τῆς συγγενείας ὅλης.* XI. 925. B: *ἔξω τῆς συγγενείας.* 929. A: *τοῦτον ... ἀπαλλάξαι τῆς αὑτοῦ ξυγγενείας.* Charm. 155. A: *ἀπὸ τῆς Σόλωνος συγγενείας.* Ep. VII. 334. B: *ξυγγενείᾳ ψυχῶν καὶ σωμάτων.* Prot. 322. A: *διὰ τὴν τοῦ θεοῦ συγγένειαν.* Polit. 257. D: *κινδυνεύετον ... ἄμφω ποθὲν ἐμοὶ ξυγγένειαν ἔχειν τινά.* 307. D: *κατὰ ... τὴν αὑτῶν ἑκατέροις ξυγγένειαν.* Pol. VII. 531. D: *ἐὰν ... ἐπὶ τὴν ἀλλήλων κοινωνίαν ἀφίκηται καὶ ξυγγένειαν.* Legg. I. 627. E: *παραλαβὼν συγγένειαν μίαν διαφερομένην.* Lys. 205. C: *διὰ τὴν τοῦ Ἡρακλέους ξυγγένειαν.* Ep. VII. 332. A: *εὐεργεσίαις καὶ ξυγγενείαις.* Tim. 88. E: *κατὰ ξυγγενείας.*

συγγενής (et *ξυγγ.*), *ὁ ἡ*, *cognatus*, *propinquus*; *similis* (c. genit. et dat.). Phil. 31. A: *ὅτι νοῦς ... αἰτίας ἦν ξυγγενής.* Pol. VI. 487. A: *φίλος τε καὶ ξυγγενὴς ἀληθείας.* Alc. I. 105. E: *οὔτ' ἐπίτροπος οὔτε συγγενὴς* cet. Phaed. 79. D: *ὡς συγγενὴς οὖσα αὐτοῦ.* Pol. X. 611. E: *ὡς ξυγγενὴς οὖσα (ἡ ψυχὴ) τῷ τε θείῳ καὶ ἀθανάτῳ* cet. Legg. VII. 814. D: *τῇ πολεμικῇ μάχῃ ... ξυγγενής.* Prot. 337. D: *τὸ γὰρ ὅμοιον τῷ ὁμοίῳ φύσει συγγενές ἐστιν.* Conv. 210. C: *ὅτι πᾶν αὐτὸ αὑτῷ ξυγγενές ἐστιν.* Pol. VI. 566. E: *γενόμενος φόνου ξυγγενοῦς.* Men. 81. C: *ἅτε ... τῆς φύσεως ἁπάσης συγγενοῦς οὔσης.* Soph. 228. A: *τὴν τοῦ φύσει ξυγγενοῦς ... διαφοράν.* Tim. 71. B: *μέρει ... ξυγγενεῖ.* Ep. VII. 344. A: *τὸν μὴ ξυγγενῆ τοῦ πράγματος.* Pol. VI. 486. D: *ἀλήθειαν ... ἀμετρίᾳ ἡγεῖ ξυγγενῆ εἶναι, ἢ ἐμμετρίᾳ;* Tim. 77. A: *τῆς ... ἀνθρωπίνης ξυγγενῆ φύσεως φύσιν ἄλλαις ἰδέαις ... κεραννύντες.* Phaed. 84. B: *εἰς τὸ ξυγγενὲς ... ἀφικομένη.* Soph. 227. B: *πασῶν τεχνῶν τὸ ξυγγενὲς καὶ τὸ μὴ ξυγγενὲς κατανοεῖν πειρωμένη.* Polit. 309. C: *κατὰ τὸ ξυγγενές.* Pol. III. 403. A: *οὐδὲ ξυγγενὲς ἀκολασίας.* VI. 494. D: *(διὰ) τὸ ξυγγενὲς τῶν λόγων.* Eryx. 396. D: *φίλω τε ὄντε καὶ συγγενέε.* Ep. VII. 344. A: *ὁπόσοι τῶν δικαίων ... μὴ προσφυεῖς εἰσὶ καὶ ξυγγενεῖς.* Polit. 258. D: *καί τινες ἕτεραι ταύτῃ συγγενεῖς τέχναι.* Legg. X. 897. A: *ὅσαι τούτων ξυγγενεῖς (κινήσεις).* Phaed. 86. A: *τοῦ θνητοῦ ξυγγενῆ.* Legg. X. 892. A: *τὰ ψυχῆς συγγενῆ.* Phaedr. 239. E: *ξυγγενῶν καὶ φίλων.* Gorg. 523. E: *ἔρημον πάντων τῶν συγγενῶν.* Phaedr. 238. C: *ὑπὸ ... τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμιῶν ... ῥωσθεῖσα.* Soph. 264. B: *τούτων τῷ λόγῳ ξυγγενῶν ὄντων ... ἔνια.* Polit. 260. E: *πολλαῖς ἑτέραις τουτων τέχναις συγγενέσιν.* Prot. 337. C: *ὑμᾶς συγγενεῖς τε καὶ οἰκείους ... εἶναι φύσει, οὐ νόμῳ.* Pol. II. 378. C: *πρὸς συγγενεῖς τε καὶ οἰκείους αὑτῶν.* Legg. XI. 929. B: *συλλεξάτω τοὺς αὑτοῦ ξυγγενεῖς.* Tim. 47. D: *ξυγγενεῖς ἔχουσα φορὰς ταῖς ἐν ἡμῖν τῆς ψυχῆς περιόδοις.* Phil.

11. B: τὰ τούτων ... ξυγγενῆ. Tim. 85. A: τὰ τούτων ξυγγενῆ νοσήματα ἀποτίκτον. Ep. II. 312. E: βλέπουσα (ἡ ψυχὴ) εἰς τὰ αὐτῆς συγγενῆ. Phil. 22. D: τούτῳ ξυγγενέστερον καὶ ὁμοιότερον. 65. B: τοῦ ἀρίστου ξυγγενέστερον. Phaed. 79. B: ποτέρῳ ... ὁμοιότερον τῷ εἴδει φαῖμεν ἂν εἶναι καὶ ξυγγενέστερον τὸ σῶμα; Legg. V. 746. C: ὅ τι ... ξυγγενέστατον ἔφυ τῶν προσηκόντων πράττειν. Locr. 100. C: διὸ καὶ συγγενεστάταν τῷ λόγῳ ταύταν αἴσθασιν φαντὶ εἶναι.

συγγένησις, ἡ, *congressus*. Legg. XII. 948. E: καὶ ἐν ἄλλαις συνουσίαις τε καὶ ἰδιωτικαῖς συγγενήσεσιν ἑκάστων.

συγγεννήτωρ (ξυγγ.), ὁ, *qui una genitor est*. Legg. IX. 874. C: ξυγγεννήτορι τέκνων.

συγγεννῶ (ξυγγ.), *una procreo*. Theaet. 156. E: τὸ ... ξυγγεννῆσαν τὸ χρῶμα λευκότητος περιεπλήσθη.

συγγενῶς (ξυγγ.), *similiter*. Legg. X. 897. C: ξυγγενῶς ἔρχεται.

συγγίγνομαι (ξυγγ.), *una sum*, *congredior*, *convenio* et *audio* (aliquem docentem); etiam *consuesco* vel *rem habeo*. Ep. II. 310. E: ταὔτ᾽ ἄλληλ᾽ ἀεὶ διώκει ... καὶ ξυγγίγνεται (v. ξυγγίνεται). Phil. 45. B: μᾶλλον ... ἐνδείᾳ ξυγγίγνονται. Legg. X. 909. A: μηδεὶς τῶν πολιτῶν αὐτοῖς ἄλλος συγγιγνέσθω cet. VIII. 841. D: εἴ τις συγγίγνοιτό τινι πλὴν ταῖς μετὰ θεῶν καὶ ἱερῶν γάμων ἐλθούσαις εἰς τὴν οἰκίαν. XI. 930. D: ἐὰν ... τις ἐλευθέρα δούλῳ συγγίγνηται. Pol. VIII. 556. D: ὅταν ἰδίᾳ ξυγγίγνωνται. Theaet. 143. D: οἷς ἂν ὁρῶ τοὺς νέους ἐθέλοντας ξυγγίγνεσθαι. Polit. 272. B: διὰ λόγων ξυγγίγνεσθαι. Pol. I. 329. C: γυναικὶ συγγίγνεσθαι. III. 390. C: αὐτοῦ βουλόμενον χαμαὶ ξυγγίγνεσθαι (*consuescere*; int. cum Iunone). V. 459. D: δεῖ ... τοὺς ἀρίστους ταῖς ἀρίσταις συγγίγνεσθαι ὡς πλειστάκις. 461. B: συγγίγνεσθαι ᾧ ἂν ἐθέλωσι. Tim. 34. B: δι᾽ ἀρετὴν ... αὐτὸν αὐτῷ δυνάμενον ξυγγίγνεσθαι. Legg. II. 674. A: ὑδροποσίαις ξυγγίγνεσθαι τοῦτον τὸν χρόνον ἅπαντα. De lege 319. C: συγγίγνεσθαι ... τῷ Διὶ ἐν λόγοις. Theaet. 174. B: ἰδίᾳ τε συγγιγνόμενος ὁ τοιοῦτος ἑκάστῳ καὶ δημοσίᾳ. Pol. X. 603. B: φαύλη ... φαύλῳ ξυγγιγνομένη φαῦλα γεννᾷ ἡ μιμητική. Theaet. 150. D: οἱ ... ἐμοὶ ξυγγιγνόμενοι. Pol. VIII. 560. B: λάθρᾳ ξυγγιγνόμεναι. Theaet. 182. B: ἐξ ἀμφοτέρων πρὸς ἄλληλα συγγιγνομένων cet. Legg. XII. 948. E: ἐν ξυσσιτίοις ... ἀλλήλοις εὐχερῶς συγγιγνομένους. Men. 91. E: τοὺς συγγιγνομένους (*discipulos*). Conv. 217. B: συνεγιγνόμην ... μόνος μόνῳ. Gorg. 470. D: οὐ γάρ πω συγγέγονα τῷ ἀνδρί. Men. 92. B. Theaet. 180. B: εἰρηνεύουσι δὲ οὐ συγγέγονας. Ep. XIII. 360. C: ξυγγέγονε. Lach. 186. E: τίνι ... δεινοτάτῳ συγγεγόνατον περὶ τῆς τῶν νέων τροφῆς. Alc. I. 118. C: λέγεται ... πολλοῖς καὶ σοφοῖς συγγεγονέναι. Lach. 187. D. Prot. 309. D: ἄρτι ... ἐκείνῳ συγ-

γεγονὼς ἥκεις; Phaed. 61. D: περὶ τῶν τοιούτων Φιλολάῳ συγγεγονότες. Theag. 128. C: ἐπειδὴ δὲ συνεγένοντο τούτῳ. Prot. 316. C: εἰ σοὶ συγγένοιτο. 329. A. Hipp. min. 372. B: ἐπειδὰν συγγίνωμαί τῳ ὑμῶν τῶν εὐδοκιμούντων ἐπὶ σοφίᾳ. Euthyd. 306. D: ὅταν σοι ξυγγένωμαι. Prot. 318. A: ᾗ ἂν ἡμέρᾳ ἐμοὶ συγγένῃ. Pol. VIII. 559. D: (ὅταν) ξυγγένηται αἴθωσι θηρσὶ καὶ δεινοῖς. I. 330. C: χαλεποὶ οὖν καὶ ξυγγενέσθαι εἰσίν. Apol. 41. A: Ὀρφεῖ ξυγγενέσθαι cet. - Theag. 130. B: πρὶν σοὶ συγγενέσθαι. Gorg. 470. D: συγγενόμενος ἂν γνοίης —; Theaet. 142. C: συγγενόμενός τε καὶ διαλεχθείς. Pol. IX. 572. C. Legg. X. 897. B: ἀνοίᾳ ... ξυγγενομένη. II. 672. A: κατὰ νόμους ... πᾶσαν τὴν ξυνουσίαν ξυγγενόμενοι. Phaed. 116. E: συγγενομένους γ' ἐνίους ὧν ἂν τύχωσιν ἐπιθυμοῦντες. *insum vel *adsum*. Epin. 978. A: ὅσης ἡμῖν δυνάμεως αἴτιος ἂν εἴη ξυγγιγνόμενος (ὁ ἀριθμός).

συγγιγνώσκω (ξυγγ.), *agnosco*. Legg. IV. 717. D: ξυγγιγνώσκοντα ὡς εἰκότως μάλιστα πατὴρ υἱεῖ δοξάζων ἀδικεῖσθαι θυμοῖτ' ἂν διαφερόντως. *concedo, veniam do; ignosco*. Pol. IV. 426. D: οὐ συγγιγνώσκεις ... τοῖς ἀνδράσιν; VII. 537. A: οὐ ξυγγιγνώσκεις; VIII. 568. B: οἱ ... ποιηταὶ συγγιγνώσκουσιν (v. συγγιν.) ἡμῖν. Phaedr. 230. D: συγγίγνωσκέ μοι. Euthyd. 296. A. Phaedr. 269. B: οὐ χρὴ χαλεπαίνειν, ἀλλὰ συγγιγνώσκειν. Critia 107. E. Legg. XII. 956. C: τοῖς ... πλείστοις τῶν κατὰ πόλιν ξυγγιγνώσκειν (*veniam dare*) τῇ φήμῃ μόνον τῶν νόμων συνακολουθοῦσι. Euthyd. 306. C: συγγιγνώσκειν ... αὐτοῖς χρὴ τῆς ἐπιθυμίας καὶ μὴ χαλεπαίνειν. Menex. 244. B: τοῖς μὲν βαρβάροις συγγιγνώσκουσα ... τοῖς δὲ Ἕλλησιν ἀγανακτοῦσα. Apol. 17. D: ὥσπερ οὖν ἂν ... ξυνεγιγνώσκετε δήπου ἄν μοι εἰ cet. Legg. VII. 804. B: μὴ θαυμάσῃς ... ἀλλὰ ξύγγνωθί μοι. Med. Phil. 23. D: ξυγγνώσει πού μοι σὺ μεταδιώκοντι πέμπτον τι. Conv. 218. B: συγγνώσεσθε γὰρ τοῖς τε τότε πραχθεῖσι καὶ τοῖς νῦν λεγομένοις. A: ὡς μόνοις γνωσομένοις τε καὶ συγγνωσομένοις εἰ cet. — Verb. Phaedr. 236. A: συγγνωστέα λέγοντι.

συγγνώμη (ξυγγ.), ἡ, *venia*. Theaet. 197. A: τούτων ... μὴ ἀπεχομένῳ σοι ἔσται πολλὴ συγγνώμη. Pol. VIII. 558. A. Hipp. min. 372. A: οἷς πολλὴ δοκεῖ συγγνώμη εἶναι ἐὰν cet. Pol. VII. 539. A: πολλῆς συγγνώμης ἄξιον. Critia 107. A: ὅτι ... τὰ ῥηθησόμενα πλείονος συγγνώμης δεῖται χαλεπώτερα ὄντα cet. Legg. IX. 863. D: συγγνώμης πλείστης ἐχομένους (νόμους). Phil. 65. C: τὸ ἐπιορκεῖν συγγνώμην εἴληφε παρὰ θεῶν. Critia 106. B: συγγνώμην αἰτούμενος ὡς περὶ μεγάλων μέλλων λέγειν. Cum v. ἔχειν est *ignoscere*. Phaedr. 233. C: τῶν ... ἀκουσίων συγγνώμην ἔχων. Gorg. 465. E. Phaed. 88. C: συγγνώμην γε ἔχω ὑμῖν. Pol. II. 365. C: πολλὴν ... συγγνώμην ἔχει καὶ οὐκ ὀργίζεται

τοῖς ἀδίκοις. III. 391. E: πᾶς ... ἑαυτῷ συγγνώμην (al. ξυγγ.) ἕξει κακῷ ὄντι. V. 472. A: πάνυ συγγνώμην ἕξεις, ὅτι εἰκότως cet. (ubi est *agnosces* et *ignosces*). Legg. XI. 925. E. 926. A. (ubi Florr. plures ξυγγ.). Menex. 244. B: συγγνώμην ἀλλήλοις ἔχομεν ὧν cet.

συγγνώμων (ξυγγ.), ὁ ἡ, *ignoscens*, *indulgens*. Legg. VI. 757. D: τὸ ... ἐπιεικὲς καὶ ξύγγνωμον. XI. 921. A: ὡς οἰκεῖον συγγνώμονα εἶναι θεόν. X. 906. C: ὡς εἰσὶ συγγνώμονες ἀεὶ θεοὶ τοῖς τῶν ἀνθρώπων ἀδίκοις. VI. 770. C: ξυγγνώμονας.

σύγγραμμα (ξύγγ.), τό, *scriptio* vel *scriptum; liber*. De lege 316. C: οἶσθα οὖν τίνος τέχνης τοῦτό ἐστι τὸ σύγγραμμα; Ep. II. 314. C: οὐδ' ἔστι σύγγραμμα Πλάτωνος οὐδὲν οὐδ' ἔσται. VII. 341. C. Gorg. 462. B: ἐν τῷ συγγράμματι ὃ ἐγὼ ἔναγχος ἀνέγνων. Parm. 128. A. Phaedr. 258. A: πάνυ μακρὸν ποιησάμενος σύγγραμμα. 277. D: σύγγραμμα πολιτικὸν γράφων. Legg. VII. 810. B: συγγράμματα κατὰ λόγον εἰρημένα μόνον (*soluta tantum oratione exposita*). De lege 316. E. Phaedr. 257. E: καταλείψεως συγγραμμάτων. Legg. IX. 858. C: τοῖς ... τῶν ἄλλων συγγράμμασι. Lys. 214. B. Phaedr. 257. D: καταλείπειν συγγράμματα ἑαυτῶν. 278. C: ὅστις ... συγγράμματα ἔγραψεν. Theaet. 179. E: κατὰ τὰ συγγράμματα. Lys. 204. D: τὰ ποιήματα ... καὶ συγγράμματα. De lege 317. A. Ep. VII. 344. C. **praescriptio; lex*. De lege 316. E: ἰατρικοὶ νόμοι ταῦτα τὰ συγγράμματά ἐστι τὰ τῶν ἰατρῶν. Ib. συγγράμματα καὶ νόμιμα. 317. A. Polit. 300. B: τῶν ξυγγραμμάτων. 297. D: τοῖς ταύτης (τῆς πολιτείας) συγγράμμασι χρωμένας. 299. D: κατὰ συγγράμματα. 300. A. B: τοῖς περὶ ὁτουοῦν νόμους καὶ ξυγγράμματα τιθεμένοις. 301. E: δεῖ ... συνελθόντας ξυγγράμματα γράφειν.

συγγραφεύς, ὁ, *scriptor, scriptionis prosae auctor*. Phaedr. 258. A: ὁ συγγραφεύς (*rogationis auctor*). 272. B: φήσει ἴσως ὁ συγγραφεύς (*artis scriptor*). 235. E: οὐδ' ἂν τὸν φαυλότατον ... συγγραφέα. 278 E: λόγων συγγραφέα. 235. C: ἢ καὶ συγγραφέων τινῶν (poëtis oppos.).

συγγραφή, ἡ, *syngrapha* (germ. *Urkunde*). Legg. XII. 953. E: τὴν πρᾶξιν πᾶσαν διομολογούμενος ἐν συγγραφῇ.

συγγραφικῶς (ξυγγ.), *ita ut in syngrapha fit*, h. e. *quam accuratissime*. Phaed. 102. D: ἔοικα ... καὶ ξυγγραφικῶς (ita codd. pro vulg. συγγρ.) ἐρεῖν.

συγγράφω, *conscribo, scribo, condo*. Phaedr. 258. C: τοῦτο ὅτι συγγράφει. De lege 316. D: οὐκοῦν καὶ οἱ ἰατροὶ συγγράφουσι περὶ ὑγιείας —; Phaedr. 258. B: ἄμοιρος ... τοῦ ἄξιος εἶναι συγγράφειν. Conv. 177. B: ἐπαίνους καταλογάδην συγγράφειν. Lys. 205. A: μὴ ποιεῖν εἰς τὰ παιδικὰ μηδὲ συγγράφειν. Gorg. 518. B: ὁ τὴν ὀψοποιίαν συγγεγραφώς. Legg. IX. 858. C: ὅσοι ... ξυμβουλὴν περὶ βίου

κατέθεντο συγγράψαντες. De lege 317. B: συγγράψουσι (v. συγγράφουσι). Phaedr. 258. A: λόγος συγγεγραμμένος. Med. Euthyd. 272. A: συγγράφεσθαι λόγους οἵους εἰς τὰ δικαστήρια (*orationes iudiciis accommodatas*). Praec. in eis dicitur qui rogationem ad populum concipiunt. Gorg. 451. B: ὥσπερ οἱ ἐν τῷ δήμῳ συγγραψόμενοι.

συγγυμνάζομαι, *cum aliquo exerceor*. Conv. 217. B: συγγυμνάζεσθαι προὐκαλούμην αὐτόν. C: συνεγυμναζόμην.

συγγυμναστής, ὁ, *exercitationis socius*. Soph. 218. B: ἐμὸν ... ἡλικιώτην καὶ συγγυμναστήν. Polit. 257. C. Legg. VIII. 830. B: συγγυμναστῶν. C.

συγκαθεύδω, *concubo*. Legg. VIII. 838. B: μήτε φανερῶς μήτε λάθρᾳ συγκαθεύδοντα.

συγκαθίημι (ξυγγ.), *demitto*, recipr. *me demitto*, vel *accommodo*. Theaet. 174. A: εἴς τι τῶν ἐγγὺς οὐδὲν αὐτὴν συγκαθιεῖσα. Pol. VIII. 563. A: οἱ ... γέροντες ξυγκαθιέντες (v. συγκαθίζοντες) τοῖς νέοις. Prot. 336. A: τούτου δέου συγκαθεῖναι. Theaet. 168. B: ξυγκαθείς.

συγκαθίστημι (ξυγκ.), *adiuvo aliquem ut imperium obtineat*. Pol. VIII. 567. B: τῶν ξυγκαταστησάντων.

συγκαίω (ξυγκ.), *comburo*. Tim. 22. C: τὰ ... ἐπὶ γῆς ξυνέκαυσε. 49. C: συγκαυθέντα ... ἀέρα.

συγκαλύπτω, *obvolvo*. Pol. V. 452. D: ἐπειδὴ ... ἄμεινον τὸ ἀποδύεσθαι τοῦ συγκαλύπτειν πάντα τὰ τοιαῦτα ἐφάνη.

συγκαλῶ, *convoco*. Legg. VI. 775. A: φίλους ... συγκαλεῖν.

συγκάμπτω, *inflecto*. Phaed. 60. B: συνέκαμψε ... τὸ σκέλος. 98. D: συγκαμφθεὶς ... κάθημαι.

συγκαταγήρασις, ἡ, *senectus una degenda*. Legg. XI. 930. B: τῆς συγκαταγηράσεως ἕνεκα.

συγκατάγω (ξυγκ.), *una reduco in patriam*. Ep. VII. 333. E: τούτω τὼ ξυγκαταγαγόντε αὐτὸν φίλω.

συγκατάκειμαι, *cubo cum aliquo*. Phaedr. 255. E: φιλεῖν, συγκατακεῖσθαι. 256. A: ὅταν ... συγκατακέωνται. Conv. 191. E: συγκατακείμενοι.

συγκαταμίγνυμι (ξυγκ.), *immisceo*. Polit. 288. E: εἰς τὸ σῶμα συγκαταμιγνύμενα.

συγκατασκευάζω (ξυγκ.), *instruo*. Polit. 274. D: πάνθ' ὁπόσα τὸν ἀνθρώπινον βίον συγκατεσκεύακεν. Legg. XI. 920. D: οἳ τὸν βίον ἡμῖν ξυγκατεσκευάκασι τέχναις.

συγκατατίθεμαι, c. dat., *alicui assentior*. Gorg. 501. C: σὺ ... πότερον συγκατατίθεσαι ἡμῖν περὶ τούτων τὴν αὐτὴν δόξαν, ἢ ἀντίφῃς;

συγκατέχω, *una cohibeo*. Crat. 404. A: συγκατέχειν.

σύγκαυσις (ξύγκ.), ἡ, *exustio*. Tim. 83. A: ὑπὸ παλαιᾶς ξυγκαύσεως.

σύγκειμαι (ξύγκ.), *compositus, conflatus sum, consto;*

etiam *coniunctus sum.* Phaed. 98. C: ὅτι ξύγκειταί μοι τὸ σῶμα ἐξ ὀστῶν καὶ νεύρων. Crat. 402. D: τὸ ὄνομα ξύγκειται. 425. A: ἧπερ σύγκειται. Theaet. 201. E: ἐξ ὧν (στοιχείων) ἡμεῖς τε συγκείμεθα καὶ τἆλλα. Phaed. 93. A: ἐκεῖνα ... ἐξ ὧν ἂν συγκέηται. 92. A: ψυχὴν ... ἁρμονίαν τινὰ ἐκ τῶν κατὰ τὸ σῶμα ἐντεταμένων ξυγκεῖσθαι. Crat. 422. A. Hipp. mai. 286. A: ἔστι ... μοι περὶ αὐτῶν πάγκαλος λόγος συγκείμενος. Phaed. 92. B: ὡς πρότερον ἦν ἁρμονία συγκειμένη cet. Pol. III. 398. D: ὅτι τὸ μέλος ἐκ τριῶν ἐστὶ συγκείμενον. Lys. 221. D: ὥσπερ ποίημα μακρὸν συγκείμενον. Def. 412. D: ἀγαθὸν ἐκ πάντων ἀγαθῶν συγκείμενον. Phaed. 110. C: ἐκ τῶν ἄλλων χρωμάτων συγκειμένην. Theaet. 202. B: τὰ ... ἐκ τούτων ... συγκείμενα. Hipp. min. 368. D: πολλοὺς λόγους ... συγκειμένους. Crat. 433. D: τὸ εἶναι τῶν ὀνομάτων τὰ μὲν ἐκ προτέρων συγκείμενα, τὰ δὲ πρῶτα. Phil. 29. D: εἰς ἓν συγκείμενα ἰδόντες. **positus* vel *constitutus sum.*' Crat. 433. E: ὥσπερ νῦν ξύγκειται (τὰ ὀνόματα). Legg. VII. 822. C: καὶ ταῦτα ἡμῖν οὕτω ξυγκείσθω;

συγκεράννυμι (ξυγκ.), *commisceo, conflo, tempero.* Phil. 50. A: λύπῃ τὴν ἡδονὴν ξυγκεραννύναι. Tim. 58. D. Crat. 424. D: συγκεραννύντα πολλὰ ἑνί. Pol. III. 397. C: ξυγκεραννύντες. Crat. 424. E: πολλὰ συγκεράσαντες. Parm. 129. E: ἐν ἑαυτοῖς ταῦτα δυνάμενα συγκεράννυσθαι καὶ διακρίνεσθαι. Soph. 243. B: θερμὸν ... ψυχρῷ συγκεραννύμενον. Tim. 83. B: ξυγκεραννυμένου. Pol. X. 618. D: ξυγκεραννύμενα πρὸς ἄλληλα. Legg. II. 665. A: τοῦ τε ὀξέος ἅμα καὶ βαρέος συγκεραννυμένων. Soph. 253. B: τοὺς συγκεραννυμένους (φθόγγους). Phaed. 59. A: κρᾶσις ... συγκεκραμένη. Phil. 50. D: συγκεκραμένης ἡδονῆς λυπαῖς. 61. E: ταῦτα ξυγκεκραμένα. Legg. X. 889. C: ὁπόσα τῇ τῶν ἐναντίων κράσει ... συνεκεράσθη. Tim. 68. C: ὅταν ... μᾶλλον συγκραθῇ μέλαν. 37. A: συγκραθεῖσα. Phil. 46. E: ἡδονὰς ξυγκερασθείσας (v. συγκ.). Med. Tim. 35. A: τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ συνεκεράσατο οὐσίας εἶδος. Ib. συνεκεράσατο εἰς μίαν πάντα ἰδέαν. 80. B: μίαν ἐξ ὀξείας καὶ βαρείας συνεκεράσαντο πάθην. 69. D: ξυγκερασάμενοι ... αὐτά. Legg. XII. 961. A. — Verb. Phil. 62. B: συγκρατέον. 63. A: πάσας ξυγκρατέον.

συγκερκίζω (ξυγκ.), *contexo.* Polit. 310. E: ξυγκερκίζοντα ... ὁμοδοξίαις cet.

συγκεφαλαιοῦμαι, *generatim amplector, una comprehensione* vel *uno nomine complector.* Phil. 11. B: βούλει συγκεφαλαιωσώμεθα ἑκάτερον; Soph. 219. B: ποιητικὴν ... αὐτὰ συγκεφαλαιωσάμενοι προσείπωμεν.

συγκεφαλαίωσις, ἡ, *summa.* Def. 415. B: συγκεφαλαίωσις λόγου.

συγκινδυνεύω, una periculum subeo. Phil. 29. A: *συγκινδυνεύωμεν.* Legg. XII. 969. A: *ἐγὼ δ' ὑμῖν συγκινδυνεύσω τῷ φράζειν* cet.

συγκίρνημι, i. q. *συγκεράννυμι.* Locr. 96. A: *ἃ ... οὐκ ἐκ τῶ ῥάστω* (*non ita facile*) *συνεκίρνατο.*

σύγκλεισις (*ξύγκ.*), *ἡ*, *compactio.* Tim. 81. B: *ἰσχυρὰν ... τὴν ξύγκλεισιν αὐτῶν πρὸς ἄλληλα κέκτηται.*

συγκλείω, *concludo.* Tim. 71. C: *τὰ δ' ἐμφράττουσα συγκλείουσά τε.* 76. A: *συνέκλειεν αὐτὸ ἐπὶ τὴν κορυφήν.* Critia 117. E.

συγκληρῶ, *una sorte complector.* Legg. V. 745. C: *συγκληρῶσαι δύο τμήματα.*

σύγκλυς (*ξύγκ.*), *ὁ ἡ*, *casu* et *temere congregatus*; unde *σύγκλυδες colluvies* vel *turba* (hominum), vern. *Gesindel.* Ax. 369. A: *ἐκ συγκλύδων* (sic Ald. Bas. 1. 2. al. Vulgo *σύγκλυδος.* Par. A. c. al. *συγκλύδωνος*, quod natum videtur e scriptura *συγκλύδων*) *ὄχλου καὶ βιαίων φλυάρων* (cohaerent *συγκλύδων καὶ βιαίων φλυάρων*). Pol. VIII. 569. A: *τότε ... τρέφοι ἐκεῖνόν τε καὶ τοὺς δούλους μετὰ ξυγκλύδων ἄλλων.*

συγκλῶ, *confringo.* Theaet. 173. A: *πολλὰ κάμπτονται καὶ συγκλῶνται.* Pol. VI. 495. E: *τὰς ψυχὰς συγκεκλασμένοι ... τυγχάνουσιν.*

συγκοίμησις (*ξυγκ.*), *ἡ*, *concubitus.* Pol. V. 460. B: *τῆς τῶν γυναικῶν ξυγκοιμήσεως* (*ἐξουσία*). Phaedr. 255. E: *ἐν ... τῇ συγκοιμήσει.*

συγκολάζω (*ξυγκ.*), *una castigo.* Legg. V. 730. D: *ὁ ... ξυγκολάζων εἰς δύναμιν τοῖς ἄρχουσιν.*

συγκολλῶ (*ξυγκ.*), *conglutino*, *conflo.* Menex. 236. B: *περιλείμματ' ἄττ' ἐξ ἐκείνου συγκολλῶσα.* Tim. 43. A: *εἰς ταὐτὸ τὰ λαμβανόμενα ξυνεκόλλων.*

συγκομιδή (*ξυγκ.*), *ἡ*, in frugibus ponitur colligendis. Theaet. 149. E: *ἄλλην* (*τέχνην*) *ξυγκομιδῆς.* Legg. VIII. 845. E: *περὶ ... ξυγκομιδῆς τῶν ὡραίων ἁπάντων.* Theaet. 149. E: *ξυγκομιδὴν τῶν ἐκ γῆς καρπῶν.*

συγκόπτω (*ξυγκ.*), *contundo.* Theaet. 169. B: *μυρίοι ... μάλ' εὖ ξυγκεκόφασιν* (nos: *haben mich tüchtig geklopft*). Phaedr. 273. B: *ἰσχυρὸν καὶ δειλὸν συγκόψας.* Ib. *συγκεκόφθαι.*

συγκορυβαντιῶ, *una bacchor.* Phaedr. 228. B: *ὅτι ἕξει τὸν συγκορυβαντιῶντα* (v. II. p. 408.).

σύγκρασις (*ξύγκ.*), *ἡ*, *mixtio*, *temperatio.* Phil. 64. D: *ἡτισοῦν καὶ ὁπωσοῦν ξύγκρασις πᾶσα.* Polit. 273. B: *τῆς συγκράσεως αἴτιον.* Phil. 61. C: *εἴθ' ὅστις θεῶν ταύτην τὴν τιμὴν εἴληχε τῆς συγκράσεως.* Polit. 277. C: *τῇ συγκράσει τῶν χρωμάτων.* Phil. 64. B. Polit. 308. E: *πρὸς τὴν αὐτῆς ξύγκρασιν.* 278. D: *τῶν συγκράσεων.*

συγκρίνω (*ξυγκ.*), *coniungo*, *conflo*, *contraho*; pass. et med. *coniungor*, *concresco.* Locr. 101. C: *τὸ ... μέλαν συγκρί-*

νει (τὰν ὄψιν). Tim. 67. D: τὰ μὲν συγκρίνοντα, τὰ δὲ διακρίνοντα cet. 58. B: τῶν ... μειζόνων ἐκεῖνα συγκρινόντων. Parm. 157. A: οὔτε διακρίνεται οὔτε συγκρίνεται. Legg. X. 893. E. Phaed. 72. C: εἰ ξυγκρίνοιτο μὲν πάντα, διακρίνοιτο δὲ μή. 71. B: συγκρίνεσθαι. Parm. 156. B. Tim. 80. C: συγκρινόμενα. Legg. X. 893. E: συγκρινόμενα ... αὐξάνεται. Tim. 49. C: συγκριθέν.

σύγκρισις, ἡ, *concretio*; *contractio*. Ax. 365. E: τῆς συγκρίσεως ... διαλυθείσης. Tim. 64. E: (τῇ) συγκρίσει. Locr. 100. E. Legg. X. 897. A: (εἰς) σύγκρισιν. Tim. 65. C: διὰ συγκρίσεών τέ τινων καὶ διακρίσεων γίγνεσθαι (ταῦτα). Phil. 42. C: συγκρίσεσι. Soph. 243. B: συγκρίσεις. Legg. X. 894. B.

συγκριτικός, ή, όν, *coniungens* vel *coagmentans*, fem. *coagmentandi ars*. Polit. 282. B: ἡ συγκριτική τε καὶ διακριτική. C: συγκριτικῆς μόριον. 283. A. 282. C: συγκριτικῷ τμήματι. Ib. τὸ συγκριτικὸν ... μόριον.

συγκροτῶ, *conflo*, *contraho*. Crat. 416. B: νῦν δὲ συγκροτήσαντες αἰσχρὸν καλοῦσι. 415. D: συγκεκρότηται (codd. aliquot ξυγκ.) δὲ καὶ καλεῖται ἀρετή. 409. C: συγκεκροτημένον ... σελαναία κέκληται. 421. A: ἔοικε ... ἐκ λόγου ὀνόματι συγκεκροτημένῳ.

συγκυκλῶ, *una volvo*. Polit. 269. C: τὸ ... πᾶν τόδε τοτὲ μὲν αὐτὸς ὁ θεὸς ... συγκυκλεῖ cet.

συγκυκῶ, *confundo*. Legg. II. 669. D: ποιηταὶ ... ἀνθρώπινοι σφόδρα τὰ τοιαῦτα ἐμπλέκοντες καὶ συγκυκῶντες ἀλόγως cet.

συγχαίρω, *una gaudeo*. Epin. 988. B: οὐ συγχαῖρον ... ἀγαθῷ γενομένῳ.

συγχέω, *confundo*, *perturbo* (etiam trop.). Phil. 46. E: τὰ διακεκριμένα συγχεῖν. Pol. II. 379. E: ἣν ὁ Πάνδαρος συνέχεεν (*violavit*). Theaet. 194. E: ὑπὸ τοῦ συγχεῖσθαι. Ep. VII. 346. D: μάλα συγκεχυμένος (*perturbatus*). Pol. VII. 524. B: συγκεχυμένον τι (ἑώρα). Legg. III. 678. D: πάντα τὰ μεταλλεῖα συγκεχυμένα ἠφάνιστο. Crat. 388. B: τοὺς οὐ ... στήμονας συγκεχυμένους διακρίνομεν; Pol. VII. 524. C: οὐ συγκεχυμένα, ἀλλὰ διωρισμένα (ἰδεῖν).

συγχορευτής, ὁ, *saltationis socius*. Legg. II. 653. E: οὓς εἴπομεν τοὺς θεοὺς συγχορευτὰς δεδόσθαι. 665. A.

σύγχυσις, ἡ, *violatio*. Pol. II 379. E: τὴν ... τῶν ὅρκων καὶ σπονδῶν σύγχυσιν.

συγχωρῶ (ξυγχ.), *concedo*, *cedo*; *permitto*; *assentior* (germ est *nachgeben* et *zugeben*, h. e. *permittere* et *consentire*, s. *assentiri* vel *confiteri*). Phaed. 100. C: συγχωρῶ. Ib. τῇ τοιᾷδε αἰτίᾳ συγχωρεῖς; Pol. II. 383. A: συγχωρεῖς ἄρα ... τοῦτον δεύτερον τύπον εἶναι —; Epin. 979. C: ξυγχωρεῖ πᾶς παντί. Theaet. 183. B: οὔπω συγχωροῦμεν αὐτῷ πάντ' ἄνδρα πάν-

των χρημάτων μέτρον εἶναι. Polit. 294. B: *ταῦτα δὴ συγχωροῦμέν που;* Pol. VI. 502. A: *καὶ ἡμεῖς ξυγχωροῦμεν.* Lach. 189. A: *συγχωρείτω.* Pol. VII. 540. D: *ξυγχωρεῖτε* cet. Legg. V. 743. A: *συγχωροίην.* Phil. 45. A: *πᾶς ἄν σοι ταύτῃ συγχωροίη τὰ νῦν.* Legg. I. 649. B: *πᾶς ἡμῖν ... ταῦτ' ἂν συγχωροῖ.* Soph. 249. A: *δεινὸν ... ἂν ... λόγον συγχωροῖμεν.* Legg. II. 662. A. Soph. 250. B: *ὅταν εἶναι συγχωρῇς.* Legg. VIII. 836. D: *ἐὰν συγχωρῶμεν* cet. VII. 794. C: *ἐὰν δέ πῃ ξυγχωρῶσι* (*nisi repugnent*). Prot. 335. C: *σὲ ἐχρῆν ἡμῖν συγχωρεῖν τὸν ἀμφότερα δυνάμενον.* Soph. 247. C: *εἰ γάρ τι καὶ σμικρὸν ἐθέλουσι τῶν ὄντων συγχωρεῖν ἀσώματον.* Charm. 155. B: *ξυγχωρῶν* (*loco cedens*). Phaed. 94. B: *πότερον συγχωροῦσαν τοῖς κατὰ τὸ σῶμα παθήμασιν, ἢ καὶ ἐναντιουμένην;* Legg. IV. 705. E: *τὸ δ' ὅτι πρὸς μέρος* (*βλέποι*) ... *οὐ πάνυ ξυνεχώρουν.* Lys. 218. C: *συνεχωρείτην.* Legg. XII. 963. A: *ξυνεχωροῦμεν.* X. 906. A: *ἐπειδὴ ... συγκεχωρήκαμεν ἡμῖν αὐτοῖς εἶναι* cet. Charm. 175. B. Pol. VI. 489. D: *ἐγὼ συνεχώρησα ἀληθῆ σε λέγειν.* Gorg. 487. E: *οὐ γὰρ ἄν ποτε αὐτὸ συνεχώρησας.* Phil. 19. E. Prot. 333. D: *συνεχώρησεν ἀποκρίνεσθαι.* Phaedr. 254. D: *μόγις συνεχώρησε.* Gorg. 482. D: *ὅτι σοι συνεχώρησε τὸ ἀδικον αἴσχιον εἶναι.* Pol. I. 388. A: *τελευτῶν ... ξυνεχώρησε* (ita Par. A. c. al. Vulgo *συνεχ.*). Theaet. 169. E: (*εἰ*) *μὴ ἡμεῖς ... συνεχωρήσαμεν.* Pol. VIII. 543. B: *καὶ τάδε ξυνεχωρήσαμεν ὡς* cet. Charm. 164. D: *συγχωρήσαιμ' ἂν* cet. Euth. 13. C: *καὶ σὺ τοῦτο ξυγχωρήσαις ἂν ὡς* cet. Legg. VII. 811. B: *ὃ καὶ πᾶς ἂν μοι συγχωρήσειε.* Phil. 13. D: *ἴσως ἂν πως ἀλλήλοις συγχωρήσαιμεν.* Legg. II. 662. A: *συγχωρήσαιτε.* Crit. 46. C: *εὖ ἴσθι ὅτι οὐ μή σοι ξυγχωρήσω.* Charm. 169. D: *νῦν μὲν τοῦτο ξυγχωρήσωμεν.* Phaedr. 263. C: *ἢ οἴει ἄν σοι συγχωρῆσαι εἰπεῖν ἃ* cet. Theaet. 151. D: *ψεῦδος ... ξυγχωρῆσαι.* Phil. 58. E: *χαλεπὸν ... συγχωρῆσαι.* Apol. 33. A: *οὐδενὶ πώποτε ξυγχωρήσας οὐδὲν παρὰ τὸ δίκαιον.* Phil. 15. A: *τὸ τοιοῦτον ἓν ... συγκεχώρηται τὸ μὴ δεῖν ἐλέγχειν.* 14. E: *μήπω συγκεχωρημένα.* D. Pol. IV. 422. C: *συγχωρήσομαί σοι.* Legg. XI. 923. B: *ξυγχωρήσομαι ἑκών.* Theaet. 191. B: *ἴσως πῃ ἡμῖν συγχωρήσεται, ἴσως δὲ ἀντιτενεῖ.* Soph. 256. B: *εἴπερ τῶν γενῶν συγχωρησόμεθα τὰ μὲν ἀλλήλοις ἐθέλειν μίγνυσθαι, τὰ δὲ μή.* 257. B. Pol. IV. 434. D. Tim. 53. E. Legg. X. 901. D: *συγχωρήσονται.* Phil. 13. B: *οἴει γάρ τινα συγχωρήσεσθαι —; —* Verb. Phaedr. 234. E: *συγχωρητέον χάριν σήν.* Soph. 249. B: *τὸ κινούμενον ... καὶ κίνησιν συγχωρητέον ὡς ὄντα.* Tim. 86. B: *νόσον ... ψυχῆς ἄνοιαν συγχωρητέον.* Legg. II. 664. C. X. 895. A: *συγχωρητέα ... τούτοις.*

συγχώρησις (*ξυγχ.*), *ἡ*, *concessio; assensio.* Legg. VI. 770. C: *ἣν δὲ ἡ συγχώρησις ἓν ἔχουσα κεφάλαιον ὅπως* cet. Crat. 435. B: *τὴν ... σιγήν σου συγχώρησιν θήσω.* Legg.

VIII. 837. E: *δέχεσθαι ... τὴν τῷ λόγῳ συγχώρησιν.* XII. 957. D: *διὰ ξυγχωρήσεων.*

συζεύγνυμι, copulo. Pol. VIII. 546. C: *πεμπάδι συζυγείς.*

σύζευξις, ἡ, copulatio; coniugium. Legg. XI. 930. B: *τὴν διάζευξίν τε καὶ σύζευξιν ποιεῖσθαι χρεών.* Pol. VI. 508. A: *τῶν ἄλλων συζεύξεων* (Par. A. c. al. *ξυζ.*).

συζητῶ, una quaero vel *exploro.* Crat. 384. C: *συζητεῖν ... ἕτοιμός εἰμι.* Men. 90. B: *σὺ οὖν ἡμῖν ... συζήτησον.*

συζυγία, ἡ, par (subst.). Parm. 143. D: *συντεθέντος ἑνὸς ὁποιουοῦν ἡτινιοῦν συζυγίᾳ.* Phaed. 71. C: *τὴν ... ἑτέραν συζυγίαν ... ἐρῶ.*

σύζυξ, ὁ ἡ, iugi socius. Phaedr. 254. A: *τῷ σύζυγι.*

συζῶ, una vel *in aliquo* (velut in civitate) *vivo.* Polit. 302. B: *τίς ... τῶν οὐκ ὀρθῶν πολιτειῶν τούτων ἥκιστα χαλεπὴ συζῆν;* Ep. VII. 341. C: (*ἐκ*) *τοῦ συζῆν.*

συθῆναι (verb. poët.), *properare.* Crat. 412. B: *ἐσύθη φασί* (*οἱ ποιηταί*).

συκῆ, ἡ, ficus (arbor) et *lignum ficulneum.* Legg. VIII. 845. A: *συκῆς.* Hipp. mai. 291. C: *ἡ ἐκ τῆς συκῆς εἰργασμένη* (*τορύνη*).

σύκινος, η, ον, ficulneus. Hipp. mai. 290. D: *συκίνη* (*τορύνη*). 291. B. C: *ξύλον σύκινον.* 290. E: *τὴν συκίνην* (*τορύνην*). 291. B.

σῦκον, τό, ficus (fructus). Legg. VIII. 845. A: (*κατὰ*) *σῦκον συκῆς.* Pol. II. 372. C: *τραγήματα ... τῶν τε σύκων* cet. Legg. VIII. 844. D. 845. B: *ξηρῶν σύκων.* 844. E: *τὰ γενναῖα σῦκα ἐπονομαζόμενα.*

συκοφάντης, ὁ, sycophanta. Pol. I. 340. D: *συκοφάντης γὰρ εἶ ... ἐν τοῖς λόγοις.* Crit. 44. E: *μὴ ... οἱ συκοφάνται ἡμῖν πράγματα παρέχωσιν ὡς σὲ ἐνθένδε ἐκκλέψασι.* Pol. VIII. 553. B: *βλαπτόμενον ὑπὸ συκοφαντῶν.* Alc. II. 142. A. Crit. 45. A: *οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας ὡς εὐτελεῖς —;*

συκοφαντῶ, calumnior (vern. *chicaniren*). Pol. I. 341. B: *πρὸς ταῦτα κακούργει καὶ συκοφάντει.* A: *εἶεν ... δοκῶ σοι συκοφαντεῖν;* C.

σύλησις, ἡ, spoliatio. Legg. IX. 853. D: *ἱερῶν περὶ συλήσεως.*

συλλαβή, ἡ, syllaba. Theaet. 203. C: *ἀμφότερά ἐστιν ἡ πρώτη συλλαβὴ τοῦ ἐμοῦ ὀνόματος.* 204. A. Tim. 48. B: *οὐδ᾽ ὡς ἐν συλλαβῆς εἴδεσι.* Theaet. 203. A: *τὴν πρώτην συλλαβήν.* 203. A: *ἆρ᾽ αἱ μὲν συλλαβαὶ λόγον ἔχουσι, τὰ δὲ στοιχεῖα ἄλογα;* 202. D: *τὸ ... τῶν συλλαβῶν γένος γνωστόν.* Crat. 431. D. 423. E: *γράμμασί τε καὶ συλλαβαῖς.* Theaet. 202. B: *τὰς ... συλλαβὰς γνωστὰς* cet. Polit. 278. D. Crat. 390. E: *εἴς τε τὰ γράμματα καὶ τὰς συλ-*

λαβάς. 424. E: συλλαβὰς ... συντιθέντες, ἐξ ὧν τά τε ὀνόματα καὶ τὰ ῥήματα συντίθενται (al. συντίθεται).

συλλαγχάνω (ξυλλ.), *sorte iungor.* Polit. 266. C: τἀνθρώπινον ἡμῶν ... γένος ξυνειληχὸς ... γένει τῷ τῶν ὄντων γενναιοτάτῳ cet. E: τἀνθρώπινον ἔτι μόνῳ τῷ πτηνῷ ξυνειληχός. Tim. 18. E: ὅπως οἱ κακοὶ χωρὶς οἵ τ' ἀγαθοὶ ταῖς ὁμοίοις ἑκάτεροι ξυλλήξονται (v. ξυλλέξ.).

συλλαμβάνω (ξυλλ.), *comprehendo* (ut manibus; germ. *ergreifen, erfassen*). Polit. 275. D: τὸν ... πολιτικὸν οὐδαμοῦ συνελάβομεν ... ἀλλ' ἡμᾶς ἔλαθε ... ἐκφυγών. Soph. 235. B: συλλαβεῖν αὐτόν (τὸν σοφιστήν). Lach. 194. B: διέφυγεν ὥστε μὴ ξυλλαβεῖν τῷ λόγῳ αὐτήν. Ep. VII. 329. E: συλλαβών. **comprehendo* (animo), i. e. *percipio* (germ. *begreifen, erfassen*). Polit. 278. C: οὐκοῦν τοῦτο ... ἱκανῶς συνειλήφαμεν ὅτι cet. Soph. 218. C: τὸ δὲ φῦλον ... οὐ πάντων ῥᾷστον συλλαβεῖν τί ποτ' ἐστίν, ὁ σοφιστής. **comprehendo*, i. q. *complector.* Theaet. 147. D: ξυλλαβεῖν εἰς ἕν. Soph. 234. B: εἰς ἓν πάντα ξυλλαβών. Men. 76. A: ὅπερ ἂν συλλαβὼν εἴποιμι cet. Gorg. 456. A: ὅτι ... ἁπάσας τὰς δυνάμεις συλλαβοῦσα ὑφ' αὑτῇ ἔχει. Polit. 263. D: τὰ ... ἄλλα μετὰ τῶν ἀνθρώπων ξυλλαβὸν εἰς ταὐτό. **comprimo.* Phaed. 118: συνέλαβε τὸ στόμα. **una suscipio* (vern. *mit anfassen*), h. e. *adiuvo, opitulor.* Legg. XII. ad fin. ξυλλάμβανε. X. 905. C: καλῶς ἄν σοι ὁ θεὸς αὐτὸς ξυλλαμβάνοι. Pol. IV. 427. E: χρὴ δὲ καὶ ὑμᾶς ξυλλαμβάνειν. VI. 488. D. Eryx. 396. E: ἕτοιμός εἰμι συλλαμβάνειν. Ep. VII. 327. C: ξυλλαμβανόντων θεῶν (*diis iuvantibus*). Med. Phaedr. 237. A: ξύμ μοι λάβεσθε τοῦ μύθου. Theag. 129. E: οἷς δ' ἂν συλλάβηται τῆς συνουσίας ἡ τοῦ δαιμονίου δύναμις. Legg. IV. 709. C: ξυλλαβέσθαι κυβερνητικήν. XII. ad fin. ξυλλήψομαι. VI. 752. A: ξυλλήψεσθαι. — Verti potest *obsequi* vel *sequi.* Legg. I. 645. A: δεῖν ... τῇ καλλίστῃ ἀγωγῇ τῇ τοῦ νόμου ἀεὶ ξυλλαμβάνειν.

συλλέγω (ξυλλ.), *colligo; convoco.* Legg. V. 741. E: ἐκ τῶν τοιούτων ξυλλέγειν χρήματα. Pol. VIII. 568. C: ξυλλέγοντες τοὺς ὄχλους. Legg. XI. 929. B: συλλεξάτω τοὺς αὑτοῦ ξυγγενεῖς. Polit. 298. C: συλλέξαι ... ἐκκλησίαν ἡμῶν αὐτῶν. Legg. III. 682. E: τὸν συλλέξαντα ... τὰς τότε φυγάς. VI. 755. E: συλλέξαντας εἰς χωρίον cet. Pass. est *congregari*, h. e. *convenire.* Legg. XII. 961. A: εἰς ταὐτὸ συλλέγεσθαι τούτοις. 951. D: ἑκάστης ... ἡμέρας συλλεγόμενος (σύλλογος). Phaed. 59. D: συλλεγόμενοι ἕωθεν εἰς τὸ δικαστήριον. Critia 119. D. Legg. VI. 784. A: πρὸς τὸ ... ἱερὸν ἑκάστης ἡμέρας ξυλλεγόμεναι. X. 908. A: περὶ τὸν τῶν νύκτωρ συλλεγομένων ξύλλογον. XII. 952. C: ἡ τῶν συλλεγομένων ... δύναμις. Pol. X. 604. E: παντοδαποῖς ἀνθρώποις εἰς θέατρα ξυλλεγομένοις. Critia 119. D: οἱ ... συνελέγοντο. Pol. IX. 574. D: (ὅταν) πολὺ ... ἤδη ξυνει-

λεγμένον ἐν αὐτῷ ἢ τὸ τῶν ἡδονῶν σμῆνος. Phaed. 59. D: τότε πρωιαίτερον συνελέγημεν. Ep. VII. 348. A: ξυνελέγησαν ἀθρόοι. Gorg. 489. C: ἐὰν συρφετὸς συλλεγῇ δούλων cet. Prot. 319. B: ὅταν συλλεγῶμεν εἰς τὴν ἐκκλησίαν. Legg. VI. 784. A: συλλεχθεῖσαι cet. Ep. VII. 348. B: τοῖς τότε συλλεχθεῖσι τῶν πελταστῶν. Phaed. 107. D: τοὺς ξυλλεγέντας. Med. *me colligo*. Phaed. 83. A: αὐτὴν ... εἰς αὐτὴν ξυλλέγεσθαι. Ax. 370. E: ἐκ ... τῆς ἀσθενείας ἐμαυτὸν συνείλεγμαι. 365. A: συνειλεγμένον (germ. *gefasst*). Etiam (mihi) *colligo*. Pol. VIII. 553. C: ἐργαζόμενος χρήματα ξυλλέγεται. Legg. XI. 936. C: βίον ... ξυλλεγόμενος.

συλλήβδην (ξυλλ.), *in summa, in universum*. Prot. 323. E: ἡ ἀσέβεια καὶ συλλήβδην πᾶν τὸ ἐναντίον τῆς πολιτικῆς ἀρετῆς. 325. C: καί, ὡς ἔπος εἰπεῖν, ξυλλήβδην τῶν οἴκων ἀνατροπαί. 329. C: ὡς ἕν τι εἴη συλλήβδην. Gorg. 476. D: συλλήβδην ... ὅρα εἰ cet. Phaed. 69. B. Conv. 188. D. Pol. I. 344. A: ἣ οὐ κατὰ σμικρὸν τἀλλότρια ... ἀφαιρεῖται ... ἀλλὰ ξυλλήβδην. IV. 444. B. al.

σύλληξις, ἡ, *comparatio* (pugilum) *sortito facta*. Legg. VII. 819. B: πυκτῶν ... συλλήξεως.

συλλήπτωρ (ξυλλ.), ὁ, *adiutor*. Phaed. 82. E: ὡς ἂν μάλιστα αὐτὸς ὁ δεδεμένος ξυλλήπτωρ εἴη τῷ (τοῦ?) δεδέσθαι. Legg. XII. 968. B: ξυλλήπτωρ ... τούτου γε ὑμῖν καὶ ἐγὼ γιγνοίμην ἂν προθύμως. Conv. 218. D: τούτου ... συλλήπτορα.

συλλογή (ξυλλ.), ἡ, *collectio*. Legg. V. 736. B: πεπεράνθω ... ἡμῖν ἡ ξυλλογή.

συλλογίζομαι, *colligo*, h. e. *computo, rationem subduco*; etiam *reputo*. Tim. 87. C: ξυμμετριῶν ... τὰ μὲν σμικρὰ ξυλλογιζόμεθα, τὰ δὲ κυριώτατα ... ἀλογίστως ἔχομεν. Legg. II. 670. C: ὅτι ... δρῶσι ταῦτα ἀγνοοῦντες αὐτῶν ἕκαστα, οὐ συλλογίζονται. Pol. VII. 531. D: (ἐὰν) ξυλλογισθῇ (int. ἡ μέθοδος. Alii pass. accipiunt) ταῦτα ᾗ ἐστὶν ἀλλήλοις οἰκεῖα. Polit. 280. A: τὸ μετὰ τοῦτο ... συλλογισώμεθα ὅτι cet. Locr. 96. B: ταύτας ... τριπλασίαν ῥᾷον ξυλλογίσασθαι cet. Charm. 160. E: πάντα ταῦτα συλλογισάμενος εἰπὲ cet. Pol. X. 618. D: συλλογισάμενον αἱρεῖσθαι. Legg. VII. 799. A: συλλογισαμένους (nos: *berechnend*) εἰς τὸν ἐνιαυτόν, ἅστινας (ἑορτὰς) ... γίγνεσθαι χρεών. XII. 957. B. **colligo*, *concludo*. Phil. 41. C: συλλογίζου δὴ τὸ γιγνόμενον ἐν τούτοις. Pol. VII. 516. B: μετὰ ταῦτ' ἂν ἤδη συλλογίζοιτο περὶ αὐτοῦ ὅτι cet. Gorg. 498. E: συλλόγισαι δὴ κοινῇ μετ' ἐμοῦ τί ἡμῖν συμβαίνει ἐκ τῶν ὡμολογημένων. 479. C: ἢ βούλει συλλογισώμεθα αὐτά; Pol. II. 365. A: συλλογίσασθαι ἐξ αὐτῶν ποῖός τις ἂν ὢν cet. — Verb. Pol. VII. 517. C: ὀφθεῖσα δὲ (ἡ τοῦ ἀγαθοῦ ἰδέα) συλλογιστέα εἶναι ὡς cet.

συλλογισμός, ὁ, *conclusio*. Crat. 412. A: σύνεσις ...

δόξειεν ἂν ὥσπερ συλλογισμὸς εἶναι. Iudicium verti potest Theaet. 186. D: *ἐν μὲν ... τοῖς παθήμασιν οὐκ ἔνι ἐπιστήμη, ἐν δὲ τῷ περὶ ἐκείνων συλλογισμῷ.*

συλλογιστικός, ή, όν, concludens. Def. 414. E: *ἀπόδειξις λόγος συλλογιστικὸς ἀληθής.*

σύλλογος (ξύλλ.), ὁ, conventus; coetus; concilium. Gorg. 452. E: *ὅστις ἂν πολιτικὸς ξύλλογος γίγνηται.* 455. B: *ὅταν περὶ ἰατρῶν αἱρέσεως ᾖ τῇ πόλει σύλλογος.* Legg. II. 671. A: *θορυβώδης ... ὁ ξύλλογος ὁ τοιοῦτος* cet. XII. 969. B: *ἐάν γε ... οὗτος ἡμῖν ὁ θεῖος γένηται ξύλλογος.* Pol. II. 359. E: *συλλόγου ... γενομένου τοῖς ποιμέσιν εἰωθότος.* Legg. X. 909. A: *οἱ τοῦ νυκτερινοῦ ξυλλόγου κοινωνοῦντες.* Gorg. 452. E: *ἐν ἄλλῳ ξυλλόγῳ παντί.* Legg. XI. 935. B: *μηδ' ἐν ξυλλόγῳ κοινῷ μηδενί.* Lach. 187. E: *ἢ ἐν ἄλλῳ τῳ συλλόγῳ τῶν δημοτῶν.* Pol. VI. 492. B: *ἤ τινα ἄλλον κοινὸν πλήθους ξύλλογον.* Legg. VI. 764. A: *ἴτω δ' εἰς ἐκκλησίαν καὶ τὸν κοινὸν ξύλλογον ὁ βουλόμενος.* XII. 968. A: *τὸν τῶν ἀρχόντων νυκτερινὸν σύλλογον.* Phaedr. 261. A: *ὅσοι ἄλλοι δημόσιοι σύλλογοι.* Legg. V. 738. D. VI. 758. D: *ξυλλόγων.*

συλλυποῦμαι (ξυλλ.), una doleo. Pol. V. 462. E: *ἢ ξυνησθήσεται ἅπασα ἢ ξυλλυπήσεται.*

συλῶ, spolio et in univ. *privo.* Pol. V. 469. D: *νεκρὸν συλᾶν.* Legg. XII. 942. A: *πατρίδα συλῶν.* IX. 864. D: *περὶ ... τῶν συλώντων ... τοὺς θεούς.* 871. D: *τοῖς τὰ ἱερὰ συλῶσι.* 869. B: *τὴν τοῦ γεννήτου ψυχὴν συλήσας.* 854. A: *συλήσοντα.*

συμβαίνω (ξυμβ.), convenio, i. q. *consentio* vel *controversiam compono.* De lege 315. E: *οὐδὲν μήποτε ξυμβῶμεν.* Prot. 337. E: *συμβουλεύω ... συμβῆναι ὑμᾶς.* In re pos. est *convenire* vel *consentaneum esse.* Legg. X. 903. D: *ὅπῃ τὸ περὶ σὲ ἄριστον τῷ παντὶ ξυμβαίνει* cet. Crat. 426. C: *εἰ ... τις τὸ παλαιὸν αὐτῆς εὕροι ὄνομα εἰς τὴν ἡμετέραν φωνὴν συμβαῖνον.* Praec. ponitur in eo quod *evenit,* h. e. *concluditur* (velut e concessis) et in univ. quod *sequitur* vel *consequitur;* etiam simplic. est *evenire, usu venire; obtingere, accidere, fieri* (cum nominativo substantivi et, impers., c. accus. et infin.). Gorg. 459. B: *τοῦτο συμβαίνει, ἢ ἄλλο τι;* 498. E: *τί ἡμῖν συμβαίνει ἐκ τῶν ὡμολογημένων.* Phaed. 74. A: *ἆρ' οὖν οὐ ... συμβαίνει τὴν ἀνάμνησιν εἶναι* cet. 92. B: *ὅτι ταῦτά σοι ξυμβαίνει λέγειν, ὅταν φῇς* cet. Theaet. 170. C: *ἐξ ἀμφοτέρων ... ξυμβαίνει μὴ αἰεὶ ἀληθῆ ... αὐτοὺς δοξάζειν.* Soph. 223. B: *ὡς ὁ νῦν λόγος συμβαίνει ἡμῖν.* Crat. 396. B: *συμβαίνει ... ὀρθῶς ὀνομάζεσθαι.* 412. A: *ταὐτὸν ... τῷ ἐπίστασθαι συμβαίνει λεγόμενον.* Menex. 237. C: *συμβαίνει ... κοσμουμένη.* Polit. 270. C: *φθοραὶ ... ἐξ ἀνάγκης τότε μέγισται ξυμβαίνουσι* cet. Pol. VII. 515. C: *εἰ φύσει τοιάδε (λύσις) ξυμβαίνοι αὐτοῖς.* Legg. VI. 751. B: *οὐδ'*

ὅτι γέλως ἂν πάμπολυς ξυμβαίνοι. VII. 795. D: τὰ ... μαθήματά που διττὰ ... χρῆσασθαι ξυμβαίνοι ἄν. Polit. 261. E: ὁπότερον ἂν ἐν τῷ λόγῳ ξυμβαίνῃ. 311. A: οὗ ... ἂν ἑνὸς ἄρχοντος χρεία ξυμβαίνῃ. Ep. VII. 330. C: ἵνα μὴ τὰ πάρεργα ὡς ἔργα μοι ξυμβαίνῃ λεγόμενα. Gorg. 480. E: οὐκοῦν ... τάδε ἀνάγκη συμβαίνειν; Parm. 136. B: τί χρὴ συμβαίνειν. Gorg. 496. E: αἰσθάνει οὖν τὸ συμβαῖνον ὅτι —; Legg. III. 702. C: οὐ γὰρ ἀποκρύψομαι σφῷ τὸ νῦν ἐμοὶ ξυμβαῖνον. Gorg. 495. B: ταῦτα ... πολλὰ καὶ αἰσχρὰ φαίνεται συμβαίνοντα, εἰ τοῦτο οὕτως ἔχει. 508. B: σκεπτέον τί τὰ συμβαίνοντα. Polit. 295. C: ξυμβαινόντων ἄλλων βελτιόνων τοῖς κάμνουσι. Critia 120. E: πρὸς ... τὰς ἀεὶ ξυμβαινούσας τύχας. Gorg. 479. C: ἆρ' αἰσθάνει τὰ συμβαίνοντα ἐκ τοῦ λόγου; Soph. 251. E. Tim. 77. A: (ἐπεὶ) τὴν ... ζωὴν ἐν πυρὶ καὶ πνεύματι ξυνέβαινεν ἐξ ἀνάγκης ἔχειν αὐτῷ (τῷ ζώῳ. Vulg. αὐτό). Legg. VIII. 830. B: εἴ ... τις ἡμῖν συγγυμναστῶν συνέβαινεν ἀπορία πλείων. Theaet. 177. B: ἓν ... τι αὐτοῖς συμβέβηκεν ὅτι cet. Soph. 220. D: πυρευτικὴν ῥηθῆναι συμβέβηκε. Phil. 35. C: μανθάνομεν οὖν ὃ συμβέβηχ' ἡμῖν ἐκ τούτων τῶν λόγων; Tim. 61. B: τῷ ... σώματι ῥεῖν μόνα αἴτια ξυμβέβηκε. Legg. V. 736. B: κατὰ νοῦν ἡ καθαρότης αὐτῆς (τῆς ξυλλογῆς) ἔστω ξυμβεβηκυῖα. A: ἐστὶ συμβεβηκότα νῦν. Parm. 128. C: σὺ μὲν εἶπες τῶν συμβεβηκότων τι. Apol. 32. A: τὰ ἐμοὶ ξυμβεβηκότα. Legg. III. 699. E: ἐπειδὴ ... ταὐτὸν ἡμῖν ξυμβεβήκει πάθος ὅπερ Πέρσαις. Ep. VII. 332. C: αὐτῷ ξυνεβεβήκει οὕτως ἀνομιλήτῳ γεγονέναι. Gorg. 461. B: ἐκ ταύτης ἴσως τῆς ὁμολογίας ἐναντίον τι συνέβη ἐν τοῖς λόγοις. Phaed. 58. A: τύχη τις αὐτῷ ... συνέβη. Pol. II. 378. A: ὅπως ὅτι ἐλαχίστοις συνέβη ἀκοῦσαι. Alc. II. 141. B: εἴπερ τοιαῦτα ξυμβαίη αὐτῷ. Prot. 346. A: ὅταν τοιοῦτόν τι αὐτοῖς συμβῇ. Phaedr. 274. B: ὅ τι ἂν τῳ ξυμβῇ παθεῖν. Pol. IX. 592. A: ἐὰν μὴ θεία τις ξυμβῇ τύχη. Legg. VI. 766. B: ᾧ ... ἂν πλεῖσται ψῆφοι ξυμβῶσι. Prot. 346. A: ἀνδρὶ πολλάκις συμβῆναι μητέρα ἢ πατέρα ἀλλόκοτον cet. Euth. 3. A: ὥς γε τὸ εἰκὸς συμβῆναι ἐκ τοιαύτης ἀρχῆς ἀρξαμένῳ. Phaedr. 238. E: τίς ὠφέλεια ἢ βλάβη ἀπό τε ἐρῶντος καὶ μὴ τῷ χαριζομένῳ ἐξ εἰκότος συμβήσεται. Theaet. 154. D: Εὐριπίδειόν τι ξυμβήσεται. Parm. 136. B: τί συμβήσεται καὶ τῷ ἑνὶ καὶ τοῖς πολλοῖς cet. Pol. I. 334. D: πολλοῖς ἄρα ... ξυμβήσεται ... δίκαιον εἶναι τοὺς μὲν φίλους βλάπτειν cet. Legg. III. 688. D: καὶ εἰς τὸν ἔπειτα χρόνον οὐκ ἄλλως συμβήσεται. Alc. I. 135. A: τί τὸ συμβησόμενον; Etiam est i. q. *reperiri* et simpl. *esse* (praec. c. adi. vel part., ut Lat. *accidere*), etiam *exstare* (ut Crat. 398. B: ἔν γε τῇ ἀρχαίᾳ τῇ ἡμετέρᾳ φωνῇ αὐτὸ συμβαίνει τὸ ὄνομα.). Gorg. 479. C: ἆρ' οὖν συμβαίνει μέγιστον κακὸν ἡ ἀδικία καὶ τὸ ἀδικεῖν. Soph. 248. E: (ὡς) τὸ γιγνωσκόμενον ἀναγ-

καῖον αὖ ξυμβαίνει πάσχειν. Pol. I. 229. D: καὶ γῆρας ... καὶ νεότης χαλεπὴ τῷ τοιούτῳ ξυμβαίνει. Crat. 398. E: ἐν τῇ Ἀττικῇ φωνῇ λεγόμενοι οἱ ἥρωες ῥήτορές τινες καὶ ἐρωτητικοὶ συμβαίνουσιν. Legg. II. 655. E: οἷς δ' ἂν τὰ ... τῆς φύσεως ὀρθὰ ξυμβαίνῃ cet. 671. B: ὥστε εὐαγώγους ξυμβαίνειν τῷ δυναμένῳ ... παιδεύειν. Alc. I. 130. C: λείπεται μηδὲν ἄλλο τὸν ἄνθρωπον συμβαίνειν ἢ ψυχήν. Pol. VI. 490. C: ὅτι ξυνέβη προςῆκον τούτοις ἀνδρεία cet. Epin. 991. A: ἐν μέσῳ ... ξυνέβη τό τε ἡμιόλιον καὶ ἐπίτριτον. Lys. 213. B: οὐκοῦν ταὐτὰ ἡμῖν συμβήσεται ἀναγκαῖον εἶναι ὁμολογεῖν ὅπερ ἐπὶ τῶν πρότερον —; — Cum vv. εἶναι et γίγνεσθαι, ὄν et γιγνόμενον. Phaed. 67. C: κάθαρσις ... εἶναι ἆρα οὐ τοῦτο ξυμβαίνει ... τὸ χωρίζειν cet. Soph. 257. E: εἶναι συμβαίνει τὸ μὴ καλόν. Polit. 301. E: ὅσα ξυμβαίνει γίγνεσθαι κακά. Phil. 42. D: ξυμβαίνει γιγνόμενα. 64. E: μετριότης ... καὶ ξυμμετρία κάλλος ... καὶ ἀρετὴ πανταχοῦ ξυμβαίνει γίγνεσθαι. 55. A: πολλή τις ... ἀλογία ξυμβαίνει γίγνεσθαι, ἐάν τις cet. Tim. 86. B: τὰ μὲν νοσήματα ταύτῃ ξυμβαίνει γιγνόμενα. Legg. I. 635. A: ἴασιν ἐξ αὐτοῦ συμβαίνει γίγνεσθαι. Phil. 39. A: λόγοι ἀπ' αὐτοῦ ξυμβαίνουσιν ἀληθεῖς ἐν ἡμῖν γιγνόμενοι. Parm. 134. A: τῶν παρ' ἡμῖν ὄντων ἑκάστου ἂν ἐπιστήμη συμβαίνοι εἶναι. Polit. 292. A: (οἰόμεθα) καὶ μετὰ γραμμάτων καὶ ἄνευ νόμων ξυμβαίνουσαν γίγνεσθαι; Pol. IV. 438. E: ποιὰ δή τις συνέβη καὶ αὐτὴ γενέσθαι. Critia 118. C: συνέβαινεν εἶναι cet. Legg. III. 682. D: κακὰ πολλὰ ξυνέβαινε γιγνόμενα. VIII. 850. B: ἐὰν ... αὐτῷ ξυμβῇ λόγου ἀξίῳ ... γεγονέναι. XII. 946. C: ξυμβῇ γενόμενα. Conv. 184. D: εἰ μέλλει ξυμβῆναι καλὸν γενέσθαι τὸ cet. Legg. V. 745. E: ὥστε ξυμβῆναι κατὰ λόγον οὕτω ξύμπαντα γενόμενα. Ep. VII. 328. A: ἄρχοντας ... ξυμβῆναι γενομένους. Soph. 244. D: συμβήσεται τὸ ὄνομα ὀνόματος ὄνομα μόνον, ἄλλου δὲ οὐδενὸς ὄν. Tim. 32. A: πάνθ' οὕτως ἐξ ἀνάγκης ταὐτὰ εἶναι ξυμβήσεται. Legg. XI. 919. D. **succedo*. Legg. V. 744. A: εἴ μοι ξυμβαίνει τοῦτο, ἢ καὶ ἀποτυγχάνω τοῦ σκοποῦ;

συμβακχεύω, *una bacchor*. Phaedr. 234. D: συνεβάκχευσα μετὰ σοῦ, τῆς θείας κεφαλῆς.

συμβάλλω (ξυμβ.), *coniicio, coniungo*. Polit. 285. A: συμβάλλουσιν ... εἰς ταὐτὸν ὅμοια νομίσαντες. 273. A: συμβάλλων (i. q. *coniunctim* vel *simul*) ... ἐναντίαν ὁρμὴν ὁρμηθείς. Conv. 184. C: ξυμβαλεῖν εἰς ταὐτό. **committo*. Legg. I. 647. C: ἀναισχυντίᾳ ξυμβάλλοντας αὐτόν. De pugnantibus. Menex. 242. A: συνέβαλον ... Λακεδαιμονίοις μαχόμενοι (*proelium cum L. commiserunt*). **contraho* (ut negotium). Pol. IV. 425. C: ἃ (ξυμβόλαια) πρὸς ἀλλήλους ξυμβάλλουσιν. Legg. XI. 922. A. Pol. VIII. 556. B: ἐὰν ... τὰ πολλά τις τῶν ἑκουσίων ξυμβολαίων προςτάττῃ ξυμβάλλειν. Alc. I. 125. C:

τῶν ... συμβαλλόντων ἑαυτοῖς. D: *συμβαλλόντων πρὸς ἀλλήλους.* **comparo.* Hipp. mai. 289. B: *τὸ τῶν παρθένων γένος θεῶν γένει ἄν τις συμβάλλῃ.* A: *ὡς ... πιθήκων ὁ κάλλιστος αἰσχρὸς ἄλλῳ* (*ἀνθρώπων* Bekk. coni.) *γένει συμβάλλειν.* Theaet. 186. B: *ξυμβάλλουσα πρὸς ἄλληλα.* Hipp. mai. 289. B: *τὸ τῶν χυτρῶν (γένος) τῷ τῶν παρθένων συμβαλλόμενον.* **coniicio; coniectura assequor; perspicio.* Crat. 384. A: *εἰ ... πῃ ἔχεις συμβαλεῖν τὴν Κρατύλου μαντείαν.* 412. C: *ῥᾴδιον συμβαλεῖν.* 416. A. Med. Pol. III. 398. C: *οὔκουν ἱκανῶς γε ἔγω ἐν τῷ παρόντι ξυμβαλέσθαι ποῖα ἄττα δεῖ ἡμᾶς λέγειν, ὑποπτεύω μέντοι.* **affero; profero.* Phil. 47. C: (*ἡ*?) *σώματι τἀναντία ξυμβάλλεται.* Legg. VIII. 836. B: *βοήθειαν ... οὐ σμικρὰν ξυμβάλλονται τιθεῖσι νόμους.* Riv. 135. D: *ξυμβάλλεσθαι γνώμην.* 138. D. Ion. 533. A: *οὐκ ἔχει ὅ τι συμβάληται.* Polit. 298. C: *περὶ νόσων γνώμην ξυμβαλέσθαι.* Ion. 532. C: (*ὅτι*) *ἀδυνατῶ ... καὶ ὁτιοῦν συμβαλέσθαι λόγου ἄξιον.* 533. C. **confero;* etiam *adiuvo.* Conv. 185. C: *ταῦτά σοι ... περὶ Ἔρωτος συμβάλλομαι.* Pol. I. 331. B: *μέγα μέρος εἰς τοῦτο ἡ τῶν χρημάτων κτῆσις συμβάλλεται.* Legg. X. 905. B: *ὅπῃ ποτὲ τῷ παντὶ ξυμβάλλεται.* VIII. 836. D: *τί μέρος ἡμῖν ξυμβάλλοιτ᾽ ἂν πρὸς ἀρετήν;* Crat. 435. B: *ξυνθήκην τι καὶ ἔθος ξυμβάλλεσθαι πρὸς δήλωσιν ὧν διανοούμενοι λέγομεν.* Conv. 184. D: *ὁ μὲν δυνάμενος εἰς φρόνησιν καὶ τὴν ἄλλην ἀρετὴν ξυμβάλλεσθαι.* Legg. VII. 791. C: *μέγα ἡμῖν φῶμεν ξυμβάλλεσθαι.* X. 905. C: *οὐδὲ λόγον ξυμβάλλεσθαι περὶ βίου δυνατὸς ἂν γένοιτο εἰς εὐδαιμονίαν* cet. Tim. 47. C: *μεγίστην ξυμβαλλόμενος* (v. *ξυμβαλόμενος*) *εἰς αὐτὰ μοῖραν.* — Ut vern. *beitragen,* est etiam *causam afferre* (vern. *Ursache sein*). Apol. 36. A: *τὸ ... μὴ ἀγανακτεῖν ... ἄλλα τέ μοι πολλὰ ξυμβάλλεται* cet.

σύμβασις (*ξύμβ.*), *ἡ*, *casus.* Ep. XI. 359. B: *ὑπὸ ξυμβάσεων πραγμάτων μεγάλων ... γενομένων.*

συμβιβάζω (*ξυμβ.*), *compono,* h. e. *concilio.* Prot. 337. E: *ὥσπερ ὑπὸ διαιτητῶν ἡμῶν συμβιβαζόντων εἰς τὸ μέσον.* **comparo* et *comparando excutio,* in univ. *perpendo.* Hipp. min. 369. D: *ἐπανασκοπῶ καὶ συμβιβάζω τὰ λεγόμενα, ἵνα μάθω.* Pol. VI. 504. A: *ὅτι τριττὰ εἴδη ψυχῆς διαστησάμενοι ξυνεβιβάζομεν δικαιοσύνης ... πέρι ... ὃ ἕκαστον εἴη.*

συμβιῶ, *convivo.* Conv. 181. D: (*ὡς*) *κοινῇ συμβιωσόμενοι.*

συμβόλαιον (*ξυμβ.*), *τό*, *pactum,* plur. *pacta et conventa.* Legg. V. 729. E: *ὡς ἁγιώτατα ξυμβόλαια ὄντα.* XI. 913. Polit. 294. E: *τῶν πρὸς ἀλλήλους ξυμβολαίων* (*πέρι*). Pol. VIII. 556. B: *τῶν ἑκουσίων ξυμβολαίων.* Gorg. 484. D: *ἐν τοῖς συμβολαίοις.* Pol. I. 343. D. IV. 426. E: *περὶ τὰ ἐν τοῖς ξυμβολαίοις κακουργήματα.* Soph. 225. B: *περὶ τὰ ξυμβόλαια.* Polit. 305. B. Pol. I. 333. A: *ξυμβόλαια δὲ*

λέγεις κοινωνήματα, ἤ τι ἄλλο; IV. 424. D. Legg. I. 649. E: *ἰόντα εἰς τὰ ξυμβόλαια.* V. 738. A: *πρὸς ἅπαντα τὰ ξυμβόλαια καὶ κοινωνήματα.* XII. 958. C: *ἀνδρὶ ... ξυμμίξαντι ξυμβόλαια μετρίως.*

συμβολή (*ξυμβ.*), *ἡ*, *commissura.* Phaed. 98. D: *αἰωρουμένων ... τῶν ὀστῶν ἐν ταῖς αὐτῶν ξυμβολαῖς.* Tim. 74. E: *κατὰ τὰς ξυμβολὰς τῶν ὀστῶν.*

σύμβολον (*ξύμβ.*), *τό*, *pars dissecta et dimidiata tesserae hospitalis*, in univ. *dimidium.* Conv. 191. D: *ἕκαστος ... ἡμῶν ἐστὶν ἀνθρώπου ξύμβολον.* Ib. *ζητεῖ δὴ ἀεὶ τὸ αὑτοῦ ἕκαστος ξύμβολον.* **signum constitutum*, et in univ. *signum.* Pol. II. 371. B: *ἀγορὰ ... ἡμῖν καὶ νόμισμα ξύμβολον τῆς ἀλλαγῆς ἕνεκα γενήσεται ἐκ τούτου.* Ep. XIII. init. *ἀρχή σοι τῆς ἐπιστολῆς ἔστω καὶ ἅμα ξύμβολον ὅτι παρ᾽ ἐμοῦ ἐστί.* 363. A: *περὶ ... τοῦ ξυμβόλου τοῦ περὶ τὰς ἐπιστολάς.* **symbola* (vern. *Beitrag*). Ep. XIII. 362. D: *τοῦτο ... οὔτε ἀγαθὸν οὔτε καλὸν πρὸς δόξαν σοι δοκεῖ ξύμβολον εἶναι.*

συμβούλευσις, *ἡ*, *consilium.* Def. 413. C: *συμβούλευσις παραίνεσις ἑτέρῳ πρὸ πράξεως* cet.

συμβουλευτής (*ξυμβ.*), *ὁ*, *suasor, auctor.* Legg. XI. 921. A: *ξυμβουλευτὴς νόμος ... προστάττει* cet.

συμβουλευτικός (*ξυμβ.*), *ή*, *όν*, *suadens.* Legg. XI. 921. A: *ξυμβουλευτικός, οὐ βιαστικός* (*νόμος*). 930. B.

συμβουλεύω (*ξυμβ.*), *consilium do; suadeo, auctor sum.* Prot. 337. E: *ἐγὼ ... δέομαι καὶ συμβουλεύω ... συμβῆναι ὑμᾶς.* Apol. 31. C: *ὅτι ... ἐγὼ ... ταῦτα συμβουλεύω.* Polit. 257. C: *ἢ πῶς συμβουλεύεις;* Legg. IX. 860. E: *τί συμβουλεύεις ἡμῖν περὶ τῆς νομοθεσίας —;* Prot. 319. D: *συμβουλεύει αὐτοῖς ... περὶ τούτων* cet. Legg. XI. 929. E: *οἱ δὲ ... ξυμβουλευόντων ἐάν τε δέῃ γράφεσθαι καὶ ἐὰν μὴ τὴν γραφήν.* Ep. VII. 331. D: *ὑμῖν ... ἂν ξυμβουλεύοιμι.* Alc. I. 107. E: *σὺ ἄμεινον ἂν συμβουλεύοις, ἢ ὁ παιδοτρίβης;* Menex. 234. B: *ἐὰν σὺ ... συμβουλεύῃς ἄρχειν.* Prot. 322. D: *ἐάν τις ... συμβουλεύῃ.* Gorg. 520. D: *συμβουλὰς συμβουλεύειν.* Legg. III. 694. B: *τοὺς εἴς τι δυναμένους συμβουλεύειν.* XI. 933. B: *παραινεῖν καὶ συμβουλεύειν.* Prot. 324. C: *συμβουλεύοντος τὰ πολιτικά.* Gorg. 487. D: *ἐπειδὴ οὖν σου ἀκούω ταῦτα ἐμοὶ συμβουλεύοντος* cet. Theaet. 142. E: *ἐπεὶ ἔγωγ᾽ ἐδεόμην καὶ συνεβούλευον.* Legg. XI. 921. B: *ἅπερ τῷ πωλοῦντι ξυνεβούλευε* (*νόμος*). Ep. VII. 332. C: *ἃ ... καὶ Διονυσίῳ ξυνεβουλεύομεν ἐγὼ καὶ Δίων.* Alc. II. 151. A: *ἐπειδή μοι δοκεῖς καλῶς συμβεβουλευκέναι.* Apol. 33. D: *ὅτι νέοις οὖσιν αὐτοῖς ἐγὼ κακὸν πώποτέ τι ξυνεβούλευσα.* Ep. V. 321. C. Conv. 176. D: *οὔτε ἄλλῳ συμβουλεύσαιμι* (*ἄν*). Pol. IV. 426. A: *ἐάν τις φάρμακον συμβουλεύσῃ.* Legg. XI. 929. E: *ἐὰν ... ξυμβουλεύσωσι.* Lach. 180. D: *εἴ τι καὶ σὺ ... ἔχεις τῷδε τῷ σαυτοῦ δημότῃ ἀγαθὸν συμβουλεῦσαι.* Ep. VII. 330. C:

ὑμῖν ... ξυμβουλεύσας ἃ χρὴ ποιεῖν cet. Alc. I. 108. E: *συμβουλεύσεις ἀνιστάμενος.* Gorg. 455. B: *συμβουλεύσει.* Euthyd. 304. B: *τὰ αὐτὰ ... ταῦτα ... καὶ τοῖς μαθηταῖς συμβουλεύσετε.* Gorg. 455. C: *οἱ στρατηγικοὶ τότε συμβουλεύσουσιν.* Alc. I. 113. B: *συμβουλεύσειν Ἀθηναίοις.* Ep. VIII. 352. B. Alc. I. 106. C: *συμβουλεύσων Ἀθηναίοις.* 107. A. Med. *delibero* et *consulo* vel *in consilium adhibeo.* Ep. VII. 331. A: *ὅταν τίς μοι ξυμβουλεύηται περί τινος τῶν μεγίστων* cet. Lach. 178. B: *στοχαζόμενοι τοῦ συμβουλευομένου* (*ad consulentis arbitrium se accommodantes*). A: *ἐάν τις αὐτοῖς συμβουλεύσηται.* Prot. 314. A: *ἔξεστι συμβουλεύσασθαι παρακαλέσαντα τὸν ἐπαΐοντα.* Theag. 122. A: *ᾧ ἂν ἐγὼ μάλιστ' ἐβουλόμην περὶ τῶν τοιούτων ... συμβουλεύσασθαι.* Pass. Ep. VII. 330. D: *εἰ ... ξυμβουλεύοιτό τι τῶν προςφόρων.*

συμβουλή (*ξυμβ.*), *ἡ*, *consultatio* et *consilium.* Phaedr. 260. D: *εἴ τις ἐμὴ ξυμβουλή* (sic Vind. 3. Vulg. *ἐμῇ ξυμβουλῇ*). Gorg. 455. C: *ὅταν στρατηγῶν αἱρέσεως περὶ ... συμβουλὴ ᾖ.* Legg. XII. 942. A: *στρατειῶν ... ἕνεκα πολλὴ μὲν ξυμβουλή, πολλοὶ δὲ νόμοι γίγνονται κατὰ τρόπον.* Alc. I. 107. B: *εἰδότος ... περὶ ἑκάστου ἡ συμβουλή.* Theag. 122. B: *λέγεταί γε συμβουλὴ ἱερὸν χρῆμα εἶναι.* Prot. 322. D: *ὀλίγοις οἴονται μετεῖναι συμβουλῆς.* Gorg. 455. E: *ἐκ τῆς Θεμιστοκλέους συμβουλῆς.* Alc. I. 145. A. Dem. 380. C: (*εἰ*) *οὗτοι ... ξυμβουλῆς δέονται.* Ep. V. 322. B: *τῇ ἐκείνου ξυμβουλῇ.* Prot. 313. A: *εἰς συμβουλὴν τούς τε φίλους ἂν παρεκάλεις* cet. B: *περὶ ... τούτου οὐδένα λόγον οὐδὲ συμβουλὴν ποιεῖ.* Legg. IX. 858. D: *ὅσοι ... τὴν αὑτῶν εἰς μνήμην ξυμβουλὴν περὶ βίου κατέθεντο συγγράψαντες.* XI. 918. A: *συμβουλὴν ... δόντες.* Lach. 178. B. Ep. V. 321. C: *ἱερὰν ξυμβουλὴν λεγομένην.* Gorg. 520. D: *συμβουλὰς συμβουλεύειν.* Legg. VII. 788. B: *ἕτερα παρὰ τὰς τοῦ νομοθέτου ξυμβουλὰς παραγενόμενα.* Charm. 165. A: *συμβουλὰς χρησίμους* Ep. VII. 331. A: *τὸν ... ὑπομένοντα ξυμβουλὰς τοιαύτας.*

συμβουλία (*ξυμβ.*), *ἡ*, *consilium.* Legg. XII. 965. A: *ὑπηρέταις χρωμένους μετὰ ξυμβουλίας τοῖς νέοις.* Dem. 381. E: *ὡς δεομένους ξυμβουλίας.* 382. E: *ἀπὸ ... τῆς ἐκείνων ξυμβουλίας.*

συμβούλομαι (*ξυμβ.*), *consentio.* Crat. 414. E: *ἐγώ σοι ξυμβούλομαι.* Lach. 189. A: *συμβούλομαι τἀνδρί.* Euthyd. 298. B: *οὐκ ἂν συμβουλοίμην.* Legg. IV. 718. B: *ξυμβουληθέντων θεῶν.* (Euthyd. 296. D. pro *συμβουληθείη* Cl. et al. dant *βουληθείη*).

σύμβουλος (*ξύμβ.*), *ὁ* et *ἡ*, *consiliarius*, *auctor.* Legg. XI. 930. E: *γονέων ... ἀμελεῖν οὔτε θεὸς οὔτε ἄνθρωπος ... ξύμβουλός ποτε γένοιτ' ἂν οὐδεὶς οὐδενί.* Alc. I. 106. D: *περὶ ὧν ἄρ' εἰδὼς τυγχάνεις, ἀγαθὸς ξύμβουλος εἶ.* Soph.

φαρμακεῖον, vid. *φαρμάκιον* et *φάρμακον.*

φαρμακεύς, ὁ, veneficus. Conv. 203. D: *δεινὸς γόης καὶ φαρμακεύς.*

φαρμάκευσις, ἡ, venenum. Legg. VIII. 845. D: *οὔτε γὰρ γῆν οὔτε ἥλιον ... ῥάδιον φθείρειν φαρμακεύσεσιν* cet.

φαρμακευτικός, ή, όν, medicus (adiect.). Tim. 89. B: *τὸ τῆς φαρμακευτικῆς καθάρσεως γιγνόμενον ἰατρικόν.*

φαρμακεύω, medicamenta adhibeo. Pol. V. 459. C: *ὅταν ... καὶ φαρμακεύειν δέῃ.* Tim. 89. D: *οὐ φαρμακεύοντα* (v. *φαρμακεύοντας*) *κακὸν δύσκολον ἐρεθιστέον.* Cum accus. *veneno aliquem inficio.* Legg. XI. 933. D: *ὃς ἂν φαρμακεύῃ τινὰ ἐπὶ βλάβῃ μὴ θανασίμῳ* cet.

φαρμάκιον, τό, remedium vel *medela.* Phaedr. 268. C: *περιτυχὼν φαρμακίοις* (v. *φαρμακείοις*). Theaet. 149. C: *διδοῦσαί γε αἱ μαῖαι φαρμάκια.*

φάρμακον, τό, medicamentum. Pol. II. 382. C: *τότε ἀποτροπῆς ἕνεκα ὡς φάρμακον χρήσιμον γίγνεται.* Tim. 84. E: *ὧν* (*νοσημάτων*) *καὶ τὸ φάρμακον χαλεπόν.* Pol. III. 389. B: *ὡς ἐν φαρμάκου εἴδει.* Id. V. 459. D. Charm. 158. C: *πρὸ τῆς τοῦ φαρμάκου δόσεως.* Lys. 220. D. Charm. 157. B: *τούτῳ τῷ φαρμάκῳ μηδείς σε πείσει τὴν αὐτοῦ κεφαλὴν θεραπεύειν.* Gorg. 456. B: *φάρμακον πιεῖν.* Pol. III. 406. D: *παρὰ τοῦ ἰατροῦ φάρμακον πιών.* Charm. 155. B: *ἐπίστασθαί τι κεφαλῆς φάρμακον.* 157. C: *προσοίσω τὸ φάρμακον τῇ κεφαλῇ.* Crat. 394. A: *τὰ τῶν ἰατρῶν φάρμακα.* Pol. III. 426. B: *οὔτε φάρμακα οὔτε καύσεις* cet. Crat. 394. B: *ἅτε τὴν δύναμιν τῶν φαρμάκων σκοπουμένῳ.* Pol. III. 408. A. Theaet. 167. A: *ὁ ... ἰατρὸς φαρμάκοις μεταβάλλει.* Crat. 405. A: *αἱ τοῖς ἰατρικοῖς φαρμάκοις ... περιθειώσεις.* Pol. III. 407. D: *φαρμάκοις τε καὶ τομαῖς τὰ νοσήματα ἐκβάλλοντα αὐτῶν.* V. 459. C. Phaedr. 270. B: *φάρμακα καὶ τροφὴν προσφέρων.* Gorg. 467. C: *οἱ τὰ φάρμακα πίνοντες παρὰ τῶν ἰατρῶν.* Pol. I. 332. C: *ἡ σώμασι φάρμακα* (*ἀποδιδοῦσα τέχνη*). In univ., ut Lat. *medicina,* est *remedium* et *subsidium.* Phaedr. 274. E: *μνήμης ... καὶ σοφίας φάρμακον εὑρέθη.* 230. D: *σὺ ... δοκεῖς μοι τῆς ἐμῆς ἐξόδου τὸ φάρμακον εὑρηκέναι.* 275. A: *ὑπομνήσεως φάρμακον εὗρες.* Polit. 310. A: *ἐπὶ τούτοις ... τοῦτ᾽ εἶναι*

τέχνῃ φάρμακον. Pol. X. 595. B: *ὅσοι μὴ ἔχουσι φάρμακον εἰδέναι αὐτὰ οἷα τυγχάνει ὄντα.* Critia 106. D: *φάρμακον ἡμῖν αὐτὸν τελεώτατον καὶ ἄριστον φαρμάκων, ἐπιστήμην, εὐχόμεθα διδόναι.* Legg. I. 647. E: *φόβου φάρμακον.* XI. 919. B. Ep. VIII. 354. B: (*ὃς*) *φάρμακον ἐπήνεγκε τὴν τῶν γερόντων ἀρχήν.* Phil. 54. B: *γενέσεως … ἕνεκα φάρμακά τε καὶ πάντα ὄργανα … παρατίθεσθαι πᾶσιν.* Ut Lat. *medicamentum,* est quoque *venenum* (Phaed. init. *ἢ τὸ φάρμακον ἔπιεν ἐν τῷ δεσμωτηρίῳ.* 57. B. 63. D: *ὁ μέλλων σοι δώσειν τὸ φάρμακον.* 115. A. D.) et *color* vel *pigmentum.* Crat. 424. E: *ὡς ἂν … δοκῇ ἑκάστη ἡ εἰκὼν δεῖσθαι ἑκάστου φαρμάκου.* Ib. *ὁτιοῦν ἄλλο τῶν φαρμάκων.* (434. A. pro *φάρμακα* codd. *φαρμακεῖα* scribunt, Cl. c. al. *φαρμακείαι*). Polit. 277. C: *τὴν δὲ οἷον τοῖς φαρμάκοις καὶ τῇ συγκράσει τῶν χρωμάτων ἐνάργειαν οὐκ ἀπειληφέναι πω.* Pol. IV. 420. C: *ὅτι οὐ τοῖς καλλίστοις τοῦ ζώου τὰ κάλλιστα φάρμακα προστίθεμεν.*

φαρμακοποσία, ἡ, medicamenti potio. Soph. 227. A: *φαρμακοποσίας.* Legg. I. 646. C: *τοὺς εἰς τὰ ἰατρεῖα αὐτοὺς βαδίζοντας ἐπὶ φαρμακοποσίᾳ.*

φάρμαξις, ἡ, curatio. Phil. 46. A: *οὐκ ἄλλης δεόμενα φαρμάξεως.*

φαρμάττω, medicamentum adhibeo. Legg. XI. 933. B: *ὁποτέρως ἂν τις ἐπιχειρῇ φαρμάττειν.* C. **fascino.* Men. 80. A: *γοητεύεις με καὶ φαρμάττεις* cet. Conv. 194. A: *φαρμάττειν βούλει με.*

φάσις, ἡ, (*φαίνομαι*), in stellis dicitur apparentibus. Locr. 97. B: *φάσιάς τε καὶ κρυψίας καὶ ἐκλείψιας.* Ib. *φάσιας φανερὰς ἑώας ἢ ἑσπερίας ἐκτελέοντι ποτὶ τὸν ἅλιον.*

φάσις, ἡ, (*φημί*), *affirmatio.* Soph. 263. E: *φάσιν τε καὶ ἀπόφασιν.*

φάσκω, dico, aio; pono, statuo; etiam *prae me fero, profiteor, simulo; promitto.* Phaed. 113. C: *φάσκουσι;* sed Cl. cum plurimis al. libris *λέγουσι.* Gorg. 482. E: *φάσκων τὴν ἀλήθειαν διώκειν.* 486. A: *φάσκων ἀδικεῖν μηδὲν ἀδικοῦντα.* Theaet. 169. A. Phil. 49. B: *γελοίους τούτους φάσκων εἶναι τἀληθῆ φθέγξει.* Pol. I. 337. E: *μὴ εἰδὼς μηδὲ φάσκων εἰδέναι.* Ion. 541. E: *φάσκων ἐπιδείξειν.* Ep. III. 318. A: *φάσκων … ἀποπέμψειν.* B. Theaet. 190. A: *καὶ φάσκουσα καὶ οὐ φάσκουσα* (*negans*). Charm. 165. B: *ὡς φάσκοντος ἐμοῦ εἰδέναι περὶ ὧν ἐρωτῶ.* Gorg. 519. E: *ἀγαθὸν φάσκοντα πεποιηκέναι τινά.* Phaed. 98. A: *φάσκοντά γε ὑπὸ νοῦ αὐτὰ κεκοσμῆσθαι.* Theaet. 167. E. Crat. 426. A: *τὸν φάσκοντα περὶ αὐτῶν τεχνικὸν εἶναι.* Legg. XII. 964. C: *παιδευτὴν νέων φάσκοντ' εἶναι.* Gorg. 519. C: *φάσκοντες … ἀρετῆς διδάσκαλοι εἶναι.* Theaet. 194. C: *οὐ φάσκοντες ἀγωνισταί, ἀλλὰ φιλόσοφοι εἶναι.* Crat. 416. D: *ἃ δὴ καλὰ φάσκοντες εἶναι ἀσπαζόμεθα.* Pol. V. 453. C. Alc. I. 111. C: *αἱ μὲν*

(πόλεις) ταῦθ', αἱ δ' ἄλλα φάσκουσαι. Pol. VII. 538. A: ὅτι οὐ τούτων ἐστὶ τῶν φασκόντων γονέων. Legg. VI. 761. D: τῶν φίλων φασκόντων εἶναι. Apol. 41. A. Euthyd. 306. E. Theaet. 181. D: τοῖς τὰ πάντα φάσκουσι κινεῖσθαι. Tim. 40. E: ὡς οἰκεῖα φάσκουσιν ἀπαγγέλλειν ... πιστευτέον. Pol. VI. 489. D: διὰ τοὺς τὰ τοιαῦτα φάσκοντας ἐπιτηδεύειν. Legg. XI. 901. A: ὃν ὁ ποιητὴς κηφῆσι κοθούροισι μάλιστα εἴκελον ἔφασκεν εἶναι.

φάσμα, τό, *visum; simulacrum;* etiam *ostentum* s. *prodigium.* Polit. 268. E: τὸ περὶ τὴν Ἀτρέως τε καὶ Θυέστου λεχθεῖσαν ἔριν φάσμα. Conv. 179. D: φάσμα δείξαντες τῆς γυναικός. Theaet. 155. A: ἅττα ποτ' ἐστὶ ταῦτα τὰ φάσματα ἐν ἡμῖν. Tim. 71. E: ὅσα ἂν φάσματα ὀφθῇ cet. Legg. V. 738. C: φασμάτων γενομένων. X. 910: ἔν τε φάσμασιν ἐγρηγορότας διὰ φόβους καὶ ἐν ὀνείροις. Phaedr. 250. C: εὐδαίμονα φάσματα μυούμενοί τε καὶ ἐποπτεύοντες ἐν αὐγῇ καθαρᾷ. Tim. 71. C: ὅτ' αὖ τὰ ἐναντία φάσματα ἀποζωγραφοῖ πραότητός τις ἐκ διανοίας ἐπίπνοια.

φάττα, ἡ, *palumbes.* Theaet. 199. B: τὴν ἐν ἑαυτῷ οἷον φάτταν ἀντὶ περιστερᾶς (λαβών).

φάτνη, ἡ, *praesepe.* Tim. 70. E: ἀεὶ νεμόμενον πρὸς φάτνῃ. Phaedr. 247. E: πρὸς τὴν φάτνην τοὺς ἵππους στήσας. Tim. 70. E: οἷον φάτνην ἐν ἅπαντι τούτῳ τῷ τρόπῳ τῇ τοῦ σώματος τροφῇ τεκτηνάμενοι.

φαυλίζω, *detraho* (de aliquo). Legg. II. 667. A: οὐκ οἶδα ἡμῶν ... ὅπῃ πάλιν αὖ τοὺς νομοθέτας φαυλίζεις.

φαῦλος, η, ον, *malus* (etiam *imperitus*); *pro nihilo putandus, vilis; mediocris* (c. neg., ut Lat. *non mediocris*). Prot. 327. C: πολλάκις μὲν ἀγαθοῦ αὐλητοῦ φαῦλος ἂν ἀπέβη, πολλάκις δ' ἂν φαύλου ἀγαθός. Gorg. 485. A: ὅπου δ' ἂν φαῦλος ᾖ, ἐντεῦθεν φεύγει cet. Conv. 174. C: ἴσως ... κινδυνεύσω καὶ ἐγὼ ... φαῦλος ὢν ἐπὶ σοφοῦ ἀνδρὸς ἰέναι θοίνην ἄκλητος. Phil. 30. C: αἰτία οὐ φαύλη. Conv. 175. E: ἡ μὲν γὰρ ἐμὴ (σοφία) φαύλη τις ἂν εἴη καὶ ἀμφισβητήσιμος. 215. C: φαύλη αὐλητρίς. Crat. 425. B: ἄλλως δὲ συνείρειν μὴ φαῦλον ᾖ καὶ οὐ καθ' ὁδόν. Apol. 41. A: ἆρα φαύλη ἂν εἴη ἡ ἀποδημία; Hipp. mai. 286. E: φαῦλον γὰρ ἂν εἴη τὸ ἐμὸν πρᾶγμα καὶ ἰδιωτικόν. (Id. Ion. 532. E.). Gorg. 486. B: κατηγόρου τυχὼν πάνυ φαύλου καὶ μοχθηροῦ. 521. C: ὑπὸ πάνυ ἴσως μοχθηροῦ ἀνθρώπου καὶ φαύλου. Soph. 223. B: οὐ γάρ τι φαύλης μέτοχόν ἐστι τέχνης τὸ νῦν ζητούμενον. Theaet. 151. E: κινδυνεύεις μέντοι λόγον οὐ φαῦλον εἰρηκέναι περὶ ἐπιστήμης. 152. D: ἐρῶ καὶ μάλ' οὐ φαῦλον λόγον. 194. A: τοξότην φαῦλον. Conv. 211. E: φαῦλον βίον. Phaedr. 276. E: παγκάλην λέγεις παρὰ φαύλην παιδιὰν ... τοῦ ἐν λόγοις δυναμένου παίζειν. Pol. VII. 519. A: ὡς οὐ φαύλην ἔχον τὴν ὄψιν. Prot. 340. E: εἰ οὕτω φαῦλόν τί φησιν εἶναι τὴν ἀρετὴν ἐκτῆσθαι. Crat. 392. A:

φαῦλον ἡγεῖ τὸ μάθημα —; Tim. 71. D: κατορθοῦντες καὶ τὸ φαῦλον ἡμῶν. Alc. II. 141. A: εἰ δὲ τοῦτο φαῦλον ἡγήσαιο καὶ μὴ μέγα τι cet Prot. 326. E: διὰ τί οὖν τῶν ἀγαθῶν πατέρων πολλοὶ υἱεῖς φαῦλοι γίγνονται; Phaedr. 242. C: ὥσπερ οἱ τὰ γράμματα φαῦλοι. Phaed. 69. C: κινδυνεύουσι ... οὐ φαῦλοί τινες εἶναι cet. (Id. Crat. 401. B.). Conv. 181. B: οὗτός ἐστιν (ὁ Ἔρως) ὃν οἱ φαῦλοι τῶν ἀνθρώπων ἐρῶσιν. Legg. XI. 922. D: ὁπόσοι περὶ ἐμὲ φαῦλοι καὶ ὅσοι ἀγαθοὶ γεγόνασι φανερῶς. Euthyd. 279. C: πάντες ... καὶ οἱ πάνυ φαῦλοι. Men. 96. D: κινδυνεύομεν ... ἐγώ τε καὶ σὺ φαῦλοί τινες εἶναι ἄνδρες. Soph. 227. A: τὰ περὶ τὰ ἐκτός, ἃ εἰπεῖν μὲν φαῦλα, ὅσα βαλανευτικὴ παρέχεται. Legg. IX. 876. A: δικαστήρια φαῦλα καὶ ἄφωνα. Prot. 327. B: τῶν ἀγαθῶν αὐλητῶν ... ἢ τῶν φαύλων (τοὺς υἱεῖς). Crat. 390. D: οὐδὲ φαύλων ἀνδρῶν οὐδὲ τῶν ἐπιτυχόντων (κινδυνεύει εἶναι). Theaet. 147. A: εἴ τις ἡμᾶς τῶν φαύλων τι καὶ προχείρων ἔροιτο cet. Pol. IV. 431. C: ἐν τοῖς πολλοῖς τε καὶ φαύλοις. Theaet. 181. B: ἡμᾶς ... τι λέγειν φαύλους ὄντας. Pol. III. 405. A: μὴ μόνον τοὺς φαύλους τε καὶ χειροτέχνας cet. Phaedr. 261. B: οὐδὲν ἐντιμότερον τό γε ὀρθὸν περὶ σπουδαῖα ἢ περὶ φαῦλα γιγνόμενον. 278. C: (εἰ) λέγων αὐτὸς δυνατὸς τὰ γεγραμμένα φαῦλα ἀποδεῖξαι. Pol. VI. 496. A: οὐ νόθα καὶ φαῦλα (εἰκὸς γεννᾶν); X. 603. B: φαύλη ἄρα φαύλῳ ξυγγιγνομένη φαῦλα γεννᾷ ἡ μιμητική. Hipp. mai. 288. D: ὃς οὕτω φαῦλα ὀνόματα ὀνομάζειν τολμᾷ ἐν σεμνῷ πράγματι. Prot. 336. C: εἰ ... Πρωταγόρας ὁμολογεῖ φαυλότερος εἶναι Σωκράτους διαλεχθῆναι. Pol. V. 459. C: ἰατρὸν ... καὶ φαυλότερον ἐξαρκεῖν ἡγούμεθα εἶναι. Gorg. 483. C: ἀγαπῶσι γὰρ ... αὐτοὶ ἂν τὸ ἴσον ἔχωσι φαυλότεροι ὄντες. Phaed. 65. B: πᾶσαι (αἰσθήσεις) γάρ που τούτων φαυλότεραί εἰσιν. Pol. V. 475. B: (ὅτι) ὑπὸ σμικροτέρων καὶ φαυλοτέρων τιμώμενοι ἀγαπῶσιν. Polit. 271. E: καθάπερ νῦν ἄνθρωποι ... ἄλλα γένη φαυλότερα αὐτῶν νομεύουσι. Crat. 429. A: φαυλότερα (ἔργα; oppos. καλλίω). Legg. IX. 874. E: καὶ ὁ φαυλότατος ... τῶν ἐπὶ νόμιον τρεπομένων. Crit. 52. D: δοῦλος ὁ φαυλότατος. Legg. V. 746. D: τὸν τοῦ φαυλοτάτου δημιουργόν. Prot. 342. D: εἰ γὰρ ἐθέλει τις Λακεδαιμονίων τῷ φαυλοτάτῳ συγγενέσθαι cet. Phaedr. 235. E: τοῦτο δὲ οἶμαι οὐδ' ἂν τὸν φαυλότατον παθεῖν συγγραφέα. Ep. VII. 329. A: ἢ πάντων ἂν φαυλότατον ἡγοῦ σαυτόν. Legg. X. 902. A: καθάπερ οἱ φαυλότατοι τῶν ἀνθρώπων λέγονται ποιεῖν. Prot. 337. E: ὥσπερ τοὺς φαυλοτάτους τῶν ἀνθρώπων διαφέρεσθαι ἀλλήλοις. Pol. V. 459. D: τοὺς δὲ φαυλοτάτους ταῖς φαυλοτάταις τοὐναντίον (δεῖ συγγίγνεσθαι). **levis, facilis*. Theaet. 179. D: μάχη ... περὶ αὐτῆς οὐ φαύλη cet. Theaet. 147. C: φαῦλόν που καὶ ἁπλοῦν εἰπεῖν ὅτι cet. Crat. 390. D: κινδυνεύει ... εἶναι οὐ φαῦλον ... ἡ τοῦ ὀνόματος

θέσις. Conv. 213. C: ὡς ἐμοὶ ὁ τούτου ἔρως τοῦ ἀνθρώπου οὐ φαῦλον πρᾶγμα γέγονεν. Pol. II. 368. C: ὅτι τὸ ζήτημα ... οὐ φαῦλον, ἀλλ' ὀξὺ βλέποντος. VII. 527. D: τὸ δ' ἔστιν οὐ πάνυ φαῦλον, ἀλλὰ χαλεπὸν πιστεῦσαι ὅτι cet. Phaed. 95. E: οὐ φαῦλον πρᾶγμα ... ζητεῖς. Polit. 263. A: οὐ φαῦλον προςτάττεις. Crat. 411. A: ἐγείρεις ... οὐ φαῦλον γένος ὀνομάτων. Pol. II. 374. E: οὐκ ἄρα φαῦλον πρᾶγμα ἠράμεθα. IV. 435. C: εἰς φαῦλόν γε αὖ ... σκέμμα ἐμπεπτώκαμεν περὶ ψυχῆς cet. Soph. 218. E: περί τινος τῶν φαύλων μετιόντες.

φαυλότης, ἡ, *pravitas.* Legg. I. 646. B: εἰ δεῖ ἑκόντα ποτὲ ἄνθρωπον εἰς ἅπασαν φαυλότητα ἑαυτὸν ἐμβάλλειν. **tenuitas.* Legg. V. 745. D: τὸ νῦν δὴ λεγόμενον φαυλότητός (περὶ φ ?) τε καὶ ἀρετῆς χώρας. **inscientia, imperitia.* Theag. 130. C: οὕτως αἰσχύνομαι ἐπὶ τῇ ἐμαυτοῦ φαυλότητι. Hipp. mai. 286. D: καὶ ἐγὼ διὰ τὴν ἐμὴν φαυλότητα ἠπορούμην cet.

φαύλως, *male, perperam, haud probe.* Phaed. 86. D: καὶ γὰρ οὐ φαύλως ἔοικεν ἁπτομένῳ τοῦ λόγου. Theaet. 173. C: τούς γε φαύλως διατρίβοντας ἐν φιλοσοφίᾳ. Phil. 43. A: καὶ δοκοῦσί γε οὐ φαύλως λέγειν. Legg. VII. 820. A: φαύλως (διακεῖσθαι). VIII. 839. E: εὖ τὸ σῶμα ἔχων καὶ μὴ ἰδιωτικῶς ἢ φαύλως. XII. 966. E: ὁ ... ἰδὼν ταῦτα μὴ φαύλως μηδ' ἰδιωτικῶς. Lys. 214. A: οὐ φαύλως ἀποφαινόμενοι περὶ τῶν φίλων οἳ τυγχάνουσιν ὄντες. Ep. VII. 343. D: ἡ τῶν τεττάρων φύσις ἑκάστου πεφυκυῖα φαύλως. Legg. IX. 876. D: ἃ καὶ φαυλοτέρως ἂν πεπαιδευμένοι δικασταὶ δύναιντο κατιδεῖν. Eryx. 405. D: ὅταν ἄρα αὐτοὶ αὑτῶν τυγχάνωμεν φαυλότατα διακείμενοι, τότε cet. **simpliciter.* Theaet. 147. C: ἐξὸν φαύλως καὶ βραχέως ἀποκρίνασθαι. Pol. V. 449. C: εἰπὼν αὐτὸ φαύλως ὡς ἄρα cet. Legg. XI. 929. A: μὴ φαύλως οὕτως ἐξέστω μηδ' εὐθὺς τοῦτο δρᾶν.

φέβεσθαι, *fugere.* Lach. 191. B. (Hom.).

φέγγος, τό, *splendor; lumen.* Phaedr. 250. B: οὐκ ἔνεστι φέγγος οὐδὲν ἐν τοῖς τῇδε ὁμοιώμασιν. Pol. VI. 508. C: ὧν (τὰς χρόας) νυκτερινὰ φέγγη (ἐπέχει).

φείδομαι, *parco; abstineo.* Pol. V. 469. B: τοῦ Ἑλληνικοῦ γένους φείδεσθαι. Phaed. 117. A: γλιχόμενος τοῦ ζῆν καὶ φειδόμενος οὐδενὸς ἔτι ὄντος. Phil. 15. E: φειδόμενος οὔτε πατρὸς οὔτε μητρὸς cet. Pol. VIII. 553. C: κατὰ σμικρὸν φειδόμενος. (Gorg. 485. D. μὴ φειδόμενον ex interpretatione videtur fluxisse). Phil. 55. C: (μὴ) νοῦ ... καὶ ἐπιστήμης οἷον φειδόμενοι σφόδρα φανῶμεν. Phaed. 78. A: μήτε χρημάτων φειδομένους μήτε πόνων. Id. Lach. 201. A. Menex. 242. C: ἐφείσαντο καὶ ἀπέδοσαν (τοὺς ἡγεμόνας Λακεδαιμονίους). Phil. 16. A: ἐπεὶ βαρβάρων γε οὐδενὸς ἂν φείσαιτο cet. Apol. 31. A: φείσεσθέ μου. **caveo.* Pol.

VIII. 574. B: ἆρ' εὐλαβηθείη ἂν καὶ φείσαιτο μή τι δρᾶσαι τῶν τυραννικῶν; *cesso. Legg. V. 732. D: μηδὲν φειδόμενον, ἀλλ' ἀεὶ ... ἀναμιμνήσκοντα ἕτερόν τε καὶ ἑαυτὸν σαφῶς.

φειδωλία, ἡ, *parsimonia.* Pol. IX. 572. C: μίσει τῆς τοῦ πατρὸς φειδωλίας.

φειδωλός, ή, όν, *parcus.* Pol. VIII. 554. A: τῷ γε φειδωλὸς εἶναι καὶ ἐργάτης. 554. E. Legg. IV. 719. E: φειδωλός ... τις καὶ πένης ἀνήρ. V. 743. B. Pol. VIII. 558. D: τοῦ φειδωλοῦ ἐκείνου καὶ ὀλιγαρχικοῦ cet. IX. 572. C: ὑπὸ φειδωλῷ πατρὶ τεθραμμένος. VIII. 560. C: τῷ φειδωλῷ αὐτοῦ τῆς ψυχῆς. 555. A: τὸν φειδωλόν τε καὶ χρηματιστήν. 559. C. 548. E: φειδωλοὶ χρημάτων. Phaedr. 256. E: θνητά τε καὶ φειδωλὰ οἰκονομοῦσα.

φειδωλῶς, *parce.* Pol. VIII. 559. D: τεθραμμένος ... ἀπαιδεύτως τε καὶ φειδωλῶς.

φελλός, ὁ, *cortex* (suberis). Polit. 288. E: φελλῶν καὶ βίβλων καὶ δεσμῶν ἐργαστικαί.

φέρβω, *alo.* Critia 115. A: ἔφερβεν εὖ.

φέριστος, η, ον, *optimus.* Phaedr. 238. D: εἶεν, ὦ φέριστε, ὃ μὲν cet.

φέρω, *fero, porto.* Legg. XI. 914. B: ἂν ... τις ... ἀναιρούμενος οἴκαδε φέρῃ. Phaedr. 279. C: ὅσον (πλῆθος) μήτε φέρειν μήτε ἄγειν δύναιτ' ἄλλος ἢ ὁ σώφρων. (Pol. II. 359. E. χρυσοῦν δακτύλιον φέρειν vulgo legitur, sed v. φέρειν a libris fere omnibus abest). Pol. II. 363. D: κοσκίνῳ ὕδωρ ἀναγκάζουσι φέρειν. V. 470. A: πρὸς ἱερὸν τὰ τοιαῦτα ἀπὸ τῶν οἰκείων φέρειν. 469. E: οὐδὲ ... πρὸς τὰ ἱερὰ τὰ ὅπλα οἴσομεν ὡς ἀναθήσοντες. 460. C: οἴσουσι παρά τινας τροφοὺς cet. Theaet. 142. A: Θεαιτήτῳ ἐνέτυχον φερομένῳ ἐκ Κορίνθου ἀπὸ στρατοπέδου Ἀθήναζε. **fero,* i. q. *perfero, tolero* (c. adv., ut Lat. *graviter ferre*); *sustineo.* Phaed. 63. A: ὅτι οὕτω ῥαδίως φέρεις καὶ ἡμᾶς ἀπολείπων καὶ ἄρχοντας ἀγαθούς. Tim. 91. C: χαλεπῶς ἀγανακτοῦν φέρει. Legg. VI. 768. A: χαλεπῶς ἂν ἐν δίκῃ φέροιεν ἄμοιροι γενόμενοι τῶν τοιούτων διακρίσεων. Phaed. 115. E: ἵνα Κρίτων ῥᾷον φέρῃ. Phaedr. 241. A: τὴν ... ξυνουσίαν ἐπίπονον οὖσαν φέρειν δι' ἐλπίδα ἀγαθῶν. 252. C: φέρειν τὸ ... ἄχθος. Phaed. 116. C: πειρῶ ὡς ῥᾷστα φέρειν τὰ ἀναγκαῖα. Pol. I. 329. E: ἡγεῖσθαί σε ῥᾳδίως τὸ γῆρας φέρειν. Critia 121. B: τὰ παρόντα φέρειν ἀδυνατοῦντες. Legg. III. 691. C: ἥτις ποτὲ δυνήσεται τὴν μεγίστην ἐν ἀνθρώποις ἀρχὴν φέρειν. Menex. 247. C: ὡς ῥᾷστα φέρειν τὴν ξυμφοράν. Pol. V. 474. E: εὐχερῶς φέροντος τὴν ὠχρότητα. Gorg. 522. E: εὖ οἶδα ὅτι ῥᾳδίως ἴδοις ἄν με φέροντα τὸν θάνατον. Menex. 247. D: φέροντες ... ἀνδρείως τὰς συμφοράς. Pol. I. 330. A: (τοῖς) χαλεπῶς ... τὸ γῆρας φέρουσιν. Critia 120. E: ῥᾳδίως ἔφερον οἷον ἄχθος τὸν τοῦ χρυσοῦ ... ὄγκον. Crit. 43. C: ἣν ἐγὼ ... ἐν τοῖς βαρύτατ' ἂν ἐνέγκαιμι. Pol.

I. 330. A: ὅτι οὔτ᾽ ἂν ὁ ἐπιεικὴς πάνυ τι ῥᾳδίως γῆρας μετὰ
πενίας ἐνέγκοι cet. VI. 503. E: εἰ καὶ τὰ μέγιστα μαθή-
ματα δυνατὴ ἔσται ἐνεγκεῖν. Apol. 37. C: ὅτι ὑμεῖς ...
οὐχ οἷοί τε ἐγένεσθε ἐνεγκεῖν τὰς ἐμὰς διατριβὰς καὶ τοὺς
λόγους. Pol. X. 603. E: ὅτι ῥᾷστα οἴσει τῶν ἄλλων. Polit.
257. C: ῥᾷον οἴσετον πάντα πόνον. Apol. 37. C: ἄλλοι ...
αὐτὰς (τὰς ἐμὰς διατριβὰς) οἴσουσι ῥᾳδίως. **fero*, i. e. *duco*
(de via al.); etiam *moveo*; unde pass. Lat. *ferri*, i. q. *agitari*,
volvi, *ruere*, *abripi*, *deferri* al. Pol. II. 365. D: ταύτῃ ἰτέον,
ὡς τὰ ἴχνη τῶν λόγων φέρει. IV. 444. E: ἆρ᾽ οὖν οὐ καὶ
τὰ μὲν καλὰ ἐπιτηδεύματα εἰς ἀρετῆς κτῆσιν φέρει —; Legg.
III. 694. C: φέρει ... ἡμῖν σκέψιν τοῦτο ἐφ᾽ ὅπερ ὡρμήκα-
μεν. VIII. 831. C: ὅ τι ... πρὸς τοῦτο φέρει μάθημα cet.
Gorg. 524. A: ἐξ ἧς φέρετον τὼ ὁδώ, ἡ μὲν εἰς μακάρων
νήσους, ἡ δ᾽ εἰς Τάρταρον. Pol. III. 394. D: ὅπῃ ἂν ὁ
λόγος ὥσπερ πνεῦμα φέρῃ, ταύτῃ ἰτέον. VIII. 553. D: ἐὰν
τι ἄλλο εἰς τοῦτο φέρῃ. Alc. II. 142. B: πόνοι φέροντες
εἰς ὠφέλειαν. Menex. 247. E: πάντα τὰ πρὸς εὐδαιμονίαν
φέροντα. Phaedr. 250. E: οὐκ ὀξέως ἐνθένδε ἐκεῖσε φέρεται
πρὸς αὐτὸ τὸ κάλλος. 254. B: βίᾳ φέρεται. 263. A: οὐκ
ἄλλος ἄλλῃ φέρεται —; Pol. VII. 529. D: ἃς τὸ ὂν τάχος
καὶ ἡ οὖσα βραδυτὴς ... φοράς τε πρὸς ἄλληλα φέρεται καὶ
τὰ ἐνόντα φέρει. Tim. 80. A: ὅσα ἐπὶ γῆς φέρεται. Phil.
13. E: πάλιν εἰς τὸν αὐτὸν φερόμεθα λόγον. Phaed. 114.
B: φέρονται αὖθις εἰς τὸν Τάρταρον. Theaet. 144. A: ἄτ-
τοντες φέρονται ὥσπερ τὰ ἀνερμάτιστα πλοῖα. Pol. VI. 503.
C. IX. 586. A: μέχρι πάλιν πρὸς τὸ μεταξὺ φέρονται. Dem.
382. B: αἱ ... ψῆφοι φέρονται ὡς οὐ ξυμβούλων δεομένων.
Parm. 138. C: εἰ φέροιτο τὸ ἕν. Pol. IX. 584. E: ὅταν ...
ἐπὶ τὸ λυπηρὸν φέρωνται. Crat. 411. B: πάντως φέρεσθαι
(τὰ πράγματα). C: ῥεῖν καὶ φέρεσθαι. Pol. IX. 584. D:
ἄνω φέρεσθαι. Phaed. 98. B: ἀπὸ δὴ θαυμαστῆς ... ἐλπί-
δος ᾠχόμην φερόμενος. Phaedr. 255. C: πολλὴ φερομένη
(πηγὴ) πρὸς τὸν ἐραστήν. Pol. VI. 496. D: οἷον ἐν χει-
μῶνι κονιορτοῦ καὶ ζάλης ὑπὸ πνεύματος φερομένου. IX.
584. D: ἐκ τοῦ κάτω φερόμενον πρὸς μέσον. Theaet. 177.
C: τοὺς τὴν φερομένην οὐσίαν λέγοντας. Pol. VI. 492. C:
ἣν (παιδείαν) οὐ ... οἰχήσεσθαι φερομένην κατὰ ῥοῦν ᾗ ἂν
οὗτος φέρῃ. Tim. 44. A: ἔξωθεν αἰσθήσεις τινὲς φερόμε-
ναι. Ep. VII. 328. B: πολλάκις ἑαυταῖς ἐναντίαι φερόμε-
ναι (ἐπιθυμίαι). Phaed. 99. A: ὑπὸ δόξης φερόμενα τοῦ
βελτίστου. Epin. 983. A: πάντα ... τὰ φερόμενα ἄστρα.
Polit. 310. A: ἐπὶ τἀναντία φερομένων (ἀρετῆς μερῶν). Crat.
404. D: φερομένων τῶν πραγμάτων. Tim. 38. A: τοῖς ἐν
αἰσθήσει φερομένοις. 36. D: ἐν λόγῳ ... φερομένους (κύ-
κλους). Epin. 986. B: εἴτε αὐτοὺς ἰόντας εἴτε φερομένους
ἐν ὀχήμασι. Legg. VII. 814. B: εὐθὺς πρὸς ἱερὰ φερομένας.
Soph. 249. B: ἐὰν αὖ φερόμενα καὶ κινούμενα πάντ᾽ εἶναι

συγχωρῶμεν. Legg. XII. 967. C: τὰ κατ᾽ οὐρανὸν φερόμενα. Conv. 190. A: ταχὺ ἐφέροντο κύκλῳ. Tim. 43. A: βίᾳ δ᾽ ἐφέροντο καὶ ἔφερον. Ep. VII. 348. B: οἱ δ᾽ ἐφέροντο εὐθὺς πρὸς τὰ τείχη. Pol. IX. 584. D: ὅθεν ἐνήνεκται. Phaedr. 254. B: τοῦ ἡνιόχου ἡ μνήμη πρὸς τὴν τοῦ κάλλους φύσιν ἠνέχθη. Pol. IX. 586. A: πρὸς τὸ ἀληθῶς ἄνω ... οὔτε ἠνέχθησαν. Tim. 63. A: εἰς οὐδὲν ἄν ποτε τῶν ἐσχάτων ἐνεχθείη. Parm. 138. D: τίς μηχανὴ τοῦτο κύκλῳ ποτὲ ἐπὶ τοῦ μέσου ἐνεχθῆναι; Tim. 87. A: πρὸς ... τοὺς τρεῖς τόπους ἐνεχθέντα τῆς ψυχῆς. — Pass., ut Lat. *ferri* et *circumferri*, etiam in eo dicitur quod celebratur (aut laudatur aut vituperatur). Ep. VII. 328. E: ἣν (φιλοσοφίαν) ἀτίμως γῆς ὑπὸ τῶν λοιπῶν ἀνθρώπων φέρεσθαι. — Med. Eryx. 395. B: οὓς (πεττοὺς) εἴ τις φέροιτο cet. — Celeritatis notio, quae in pass. φέρεσθαι eminet, etiam in imperativo φέρε conspicitur, qui, ut Lat. *age*, exhortandi vim habet (germ. *wohlan*). Prot. 330. B: φέρε δὴ ... κοινῇ σκεψώμεθα cet. Gorg. 455. A: φέρε δὴ ἴδωμεν (v. φέρε δή, ἴδωμεν) cet. 514. D: φέρε πρὸς θεῶν αὐτὸς δὲ ὁ Σωκράτης πῶς ἔχει τὸ σῶμα πρὸς ὑγίειαν; Phaed. 63. B: φέρε δὴ ... πειραθῶ cet. Theaet. 151. E: ἀλλὰ φέρε δὴ αὐτὸ κοινῇ σκεψώμεθα cet. Soph. 229. A: φέρε δὴ διδασκαλικῆς δὲ ἆρα ἓν μόνον γένος φατέον εἶναι, ἢ πλείω —; Crat. 385. B: φέρε δή μοι τόδε εἰπέ. Polit. 294. D: φέρε νῦν ἀναλάβωμεν πάλιν μνήμῃ τὰς ... ἐπιτάξεις cet. Pol. I. 347. C: φέρε δὴ τὸ τοιόνδε περὶ αὐτῶν πῶς λέγεις; V. 453. E: φέρε δὴ ... ἐάν πῃ εὕρωμεν τὴν ἔξοδον. Legg. I. 633. C: τὴν ἀνδρείαν δὲ φέρε τί θῶμεν; VII. 805. D: φέρε ... μῶν οὐκ ἀνάγκη γενέσθαι γέ τινα τάξιν ἑτέραν αὐταῖς; De lege 315. E: φέρε δὴ σὺ πότερα νομίζεις τὰ δίκαια ἄδικα εἶναι —; al. Similiter part. φέρων ponitur ita ut verti possit *protinus*, *statim*. Pol. I. 345. B: ἢ εἰς τὴν ψυχὴν φέρων ἐνθῶ τὸν λόγον; Hipp. mai. 282. E: καὶ τοῦτο ἐλθὼν οἴκαδε φέρων τῷ πατρὶ ἔδωκα. — Est etiam *calculum movere* vel *ducere*, *suffragia ferre* et *suffragiis creare*. Legg. VI. 766. B: φερόντων ψῆφον κρύβδην. Pol. VI. 486. C: οὐκ ἔχουσιν ὅ τι φέρωσιν (*quem calculum moveant*). Legg. VI. 767. D: τὴν ... ψῆφον φανερὰν φέρειν. Dem. 380. A: ἣν (ψῆφον) φέρειν ἕκαστος ὑμῶν διανοεῖται. 381. C. Legg. IX. 856. A: ψῆφον ἱερὰν ἕκαστον φέροντα. Hinc φέρειν abs. est *creare*. Legg. VI. 753. D: τὴν δὲ πόλιν ὡσαύτως ἐκ τούτων φέρειν πάλιν ὃν ἂν ἕκαστος βούληται. 756. C. D. E. 753. D: φερέτω. 759. D: φερέτωσαν. XII. 949. A: ἀφ᾽ ἱερῶν φέροντα. XII. 946. A: τῶν ... προκριθέντων οὓς ἂν πλεῖστοι ἐνέγκωσι. VI. 756. D: ἐὰν ἐνεγκεῖν μὴ βούληται. 755. A: φερέσθω ... εἰς τὴν ἀρχὴν cet. 756. C: ἐπειδὰν δ᾽ ἐνεχθῶσι cet. **fero*, h. e. *edo*, *produco*. Critia 118. E: ὅσα γῆ φέρει. Legg. V. 743. D: ὅσα γεωργία δίδωσι καὶ φέρει. Critia 115. B: πώματα καὶ βρώματα ...

φέρων. 114. E: πάντα φέρουσα ἄφθονα. Polit. 266. E: φέροντα τὸν πολιτικὸν καὶ βασιλικὸν ... παραδοῦναι τὰς τῆς πόλεως ἡνίας. Critia 111. A: τότε ... παμπληθῆ ταῦτα ἔφερε. C: νομὴν ... βοσκήμασιν ἀμήχανον ἔφερε. Tim. 24. C: ὅτι φρονιμωτάτους ἄνδρας οἴσοι. D: τὸν προςφερεστάτους αὐτῇ μέλλοντα οἴσειν τόπον ἄνδρας. Etiam *profero*. Epin. 973. C: πολλοὶ ... τὸν αὐτὸν λόγον φέρουσιν ὡς cet. Ep. VIII. 353. E: ἐνεγκὼν εἰς τὸ μέσον. *(act. et med.) *fero*, h. e. *accipio*, *consequor*. Pol. V. 468. C: πρὸς τὸ τἀριστεῖα φέρειν. Legg. II. 657. E: τὰ νικητήρια φέρειν. 671. E: ἴσην καὶ μείζω τὴν αἰσχύνην φέρειν. Hipp. mai. 304. B: οἴχεσθαι φέροντα οὐ τὰ σμικρότατα, ἀλλὰ τὰ μέγιστα τῶν ἄθλων. Phaedr. 256. D: ὥστε οὐ σμικρὸν ἆθλον τῆς ἐρωτικῆς μανίας φέρονται. Phaed. 113. D: τῶν ... εὐεργεσιῶν τιμὰς φέρονται cet. Pol. X. 613. C: τὰ ἆθλα παρὰ τῶν ἀνθρώπων φέρονται. Phaedr. 245. B: φερέσθω τὰ νικητήρια. Legg. XI. 917. D: ὁ ... δοῦλος φερέσθω τὸ κιβδηλευθέν. VI. 762. A: ὀνείδη φερέσθωσαν ἐν πάσῃ τῇ πόλει. Pol. III. 406. B: καλὸν ... τὸ γέρας ... τῆς τέχνης ἠνέγκατο. Ion. 530. A: τὰ πρῶτα τῶν ἄθλων ἠνεγκάμεθα. Ep. II. 312. C: πρὸς πολλῶν εὐδοξίαν σοι οἴσει ὡς φιλοσόφῳ ὄντι. Pol. VII. 537. B: τιμὰς ... μείζους τῶν ἄλλων οἴσονται. Phaed. 64. A: ἐκεῖ μέγιστα οἴσεσθαι ἀγαθά. Euthyd. 305. D: παρὰ πᾶσι τὰ νικητήρια εἰς δόξαν οἴσεσθαι σοφίας πέρι (ἡγοῦνται). **affero*, *apporto*. Phaed. 88. B: ἢ τῇ ψυχῇ φέρει ὄλεθρον. Conv. 184. E: ἐπὶ ... τοῖς ἄλλοις πᾶσι καὶ ἐξαπατωμένῳ αἰσχύνην φέρει καὶ μή. Pol. IX. 581. D: ὅ τι μὴ μάθημα τιμὴν φέρει. Menex. 246. E: οὔτε γὰρ πλοῦτος κάλλος φέρει τῷ κεκτημένῳ μετ' ἀνανδρίας cet. Ion. 534. B: ὅτι ... τὰ μέλη ἡμῖν φέρουσιν ὥσπερ αἱ μέλιτται. Conv. 213. E: φέρε ... τὸν ψυκτῆρα ἐκεῖνον. Ib. φερέτω. Legg. VIII. 835. B: οὐδ' αὖ μετατιθέμενα ... μέγα τῇ πόλει κέρδος ἢ ζημίαν ἂν φέροι. VII. 817. A: τὴν ποίησιν φέρωμέν τε καὶ ἄγωμεν —; IV. 721. D: κέρδος καὶ ῥαστώνην φέρειν. Crit. 43. C: ἀγγελίαν ... φέρων χαλεπήν. Soph. 245. E: μείζω ... φέρον ... πλάνην. Legg. VII. 811. B: κίνδυνόν φημι εἶναι φέρουσαν τοῖς παισὶ τὴν πολυμαθίαν. Conv. 188. A: ἥκει φέροντα εὐετηρίαν τε καὶ ὑγίειαν ἀνθρώποις cet. Phaed. 116. B: (ἐπειδὴ) ἠνέχθη παρ' αὐτὸν τὰ παιδία. Tim. 21. C: ὃν (λόγον) ἀπ' Αἰγύπτου δεῦρο ἠνέγκατο. **aufero*, *arripio*. Pol. IX. 574. A: ἀναγκαῖον ... πανταχόθεν φέρειν. Legg. VI. 762. A: ἐπιχειροῦντες λαμβάνειν τε καὶ φέρειν τῶν ἐν ταῖς γεωργίαις μὴ πείσαντες. X. 884: τῶν ἀλλοτρίων μηδένα μηδὲν φέρειν μηδὲ ἄγειν. 885. A: ὅταν ... τις τῶν ἀρχόντων ἄγῃ ἢ φέρῃ ἢ χρῆται τινι τῶν ἐκείνων μὴ πείσας αὐτούς. **refero*, ut gratiam, et in univ. *persolvo*, *pendo*. Polit. 298. A: προστάττοντες ἀναλώματα φέρειν παρ' ἑαυτοὺς οἷον φόρους. Tim. 21. C: εἴτε

καὶ χάριν τινὰ τῷ Κριτίᾳ φέρων. *specto, pertineo, convenio. Pol. VII. 538. C: πῇ πρὸς τοὺς ἁπτομένους τῶν λόγων αὕτη φέρει ἡ εἰκών; Legg. II. 670. E: τῆς ἐπὶ τὸ πλῆθος φερούσης (παιδείας). Etiam conduco. Pol. V. 449. D: μέγα γάρ τι οἰόμεθα φέρειν καὶ ὅλον εἰς πολιτείαν ὀρθῶς ἢ μὴ ὀρθῶς γιγνόμενον. — Cum praep. εἰς est inferre, cum praep. ἐπί referre (germ. beziehen), conferre, transferre al. Pol. V. 478. B: οὐχ ὁ δοξάζων ἐπὶ τὶ φέρει τὴν δόξαν; Soph. 237. C: οὐκοῦν ... οὐδ' ἐπὶ τὸ τὶ φέρων ὀρθῶς ἄν τις φέροι; Charm. 163. D: δῆλον ... μόνον ἐφ' ὅ τι φέροις τοὔνομα ὅ τι ἂν λέγῃς. Soph. 250. D: ἐφ' ὅ τί ποτε δεῖ φέρειν. Tim. 37. E: ἃ δὴ φέροντες λανθάνομεν ἐπὶ τὴν ἀΐδιον οὐσίαν οὐκ ὀρθῶς. Critia 120. A: τὰ δ' ἄλλα εἰς τὸ πῦρ ἔφερον. Pol. V. 477. E: δόξαν εἰς δύναμιν ἢ εἰς ἄλλο εἶδος οἴσομεν; Critia 120. C: μήτε ποτὲ ὅπλα ἐπ' ἀλλήλους οἴσειν. Verb. Soph. 237. C: ὅτι τῶν ὄντων ἐπί τι τὸ μὴ ὂν οὐκ οἰστέον.

φεῦ, *hem* (admirantis exclamatio). Phaedr. 263. D: φεῦ ὅσῳ λέγεις τεχνικωτέρας νύμφας τὰς Ἀχελῴου ... Λυσίου ... πρὸς λόγους εἶναι. 273. C: φεῦ δεινῶς γ' ἔοικεν ἀποκεκρυμμένην τέχνην ἀνευρεῖν ὁ Τισίας cet. Hipp. mai. 287. B: φεῦ ὡς εὖ λέγεις.

φεύγω, *fugio, effugio; vito, aversor; recuso.* Gorg. 485. A: ἐντεῦθεν φεύγει καὶ λοιδορεῖ τοῦτο. Phaed. 65. D: φεύγει ἀπ' αὐτοῦ (τοῦ σώματος). Epin. 974. B: φυγῇ φεύγει. Prot. 354. C: τὴν ... λύπην φεύγετε ὡς κακόν. Pol. VIII. 568. A: οἱ δ' ἐπιεικεῖς μισοῦσί τε καὶ φεύγουσι. Legg. IV. 706. C: φεύγουσι δή τινας οὐκ αἰσχρὰς ... φυγάς. IX. 854. C: τὰς ... τῶν κακῶν ξυνουσίας φεῦγε ἀμεταστρεπτί. Phaed. 62. E: διὸ ἀλογίστως ἂν φεύγοι. 63. A: τί γὰρ ἂν βουλόμενοι ... δεσπότας ἀμείνους αὑτῶν φεύγοιεν —; Prot. 338. A: φεύγειν εἰς τὸ πέλαγος τῶν λόγων. Theaet. 176. A: ἐνθένδε ἐκεῖσε φεύγειν. Pol. X. 619. A: φεύγειν τὰ ὑπερβάλλοντα ἑκατέρωσε. Legg. I. 636. E: τὰς ἡδονὰς φεύγειν. Ep. VIII. 354. A: φεύγειν ... τοὔνομά τε καὶ τοὖργον τοῦτο. C: φεύγειν φυγῇ ἀπλήστως πεινώντων εὐδαιμόνισμα ἀνθρώπων. Conv. 195. B: φεύγων φυγῇ τὸ γῆρας. 216. A: βίᾳ ... οἴχομαι φεύγων. Hipp. mai. 292. A: ἂν μὴ ἐκφύγω φεύγων αὐτόν. Legg. IX. 875. B: φεύγουσα ... ἀλόγως τὴν λύπην. Pol. VIII. 549. C: φεύγοντος τάς τε τιμὰς καὶ ἀρχὰς cet. X. 620. B: φεύγουσαν (ψυχὴν) ἄνθρωπον γενέσθαι. Gorg. 479. B: οἱ τὴν δίκην φεύγοντες (*effugere studentes*). Legg. VI. 762. B: εἰς ἕτερον ἀεὶ τόπον φεύγοντες. Legg. X. 886. E: (ἐν ἀνθρώποις) φεύγουσι (*nos aversantibus*) περὶ τῆς νομοθεσίας. Ep. VIII. 354. D: φεύγουσι τὸν δούλειον ζυγὸν ὡς ὂν κακόν. Conv. 221. C: τοὺς προτροπάδην φεύγοντας διώκουσι. Euthyd. 302. B: ἄπορόν τινα στροφὴν ἔφευγόν τε καὶ ἐστρεφόμην ἤδη. Hipp. mai. 283. D: ἆρ' οὖν χρημάτων ἐνδείᾳ ἔφευγον τὴν σὴν ὁμιλίαν; Alc. I.

103. B: οὐδεὶς ὅς οὐχ ... πέφευγε. 104. C: τῶν ἄλλων πεφευγότων. Prot. 318. E: τὰς ... τέχνας αὐτοὺς πεφευγότας πάλιν αὖ ἄγοντες ἐμβάλλουσιν εἰς τέχνας. Ep. III. 316. B: ὡς εἰκότως σοι ἔφυγον κοινωνεῖν περὶ τὰ τῆς πόλεως πράγματα. Apol. 26. A: διδάξαι ἔφυγες καὶ οὐκ ἠθέλησας. Legg. IV. 708. B: ἤδη δέ ποτε καὶ ξυνάπασα πόλις τινῶν ἔφυγεν. Hipp. min. 363. D: νῦν δὲ τὴν Σωκράτους ἐρώτησιν φύγοιμι. Lach. 184. C: οὐκ ἔσθ' ὅπως ἄν τις φύγοι τὸ καταγέλαστος γενέσθαι. Legg. IX. 855. A: ἐὰν φύγωσι τὰ πατρῷα ἤθη. Tim. 86. C: σπεύδων τὸ μὲν ἑλεῖν ἀκαίρως, τὸ δὲ φυγεῖν. 87. B: φυγεῖν ... κακίαν. Legg. VIII. 832. E: φυγεῖν ... καὶ ἑλεῖν. Pol. IX. 587. C: φυγὼν νόμον τε καὶ λόγον. Legg. VI. 767. D: τοῖς τἄλλα δικαστήρια φυγοῦσι. Apol. 29. B: οὐδὲ φεύξομαι. Clit. 407. A. Crit. 53. C: πότερον ... φεύξει τὰς ... εὐνομουμένας πόλεις —; Euthyd. 307. B. Pol. IX. 592. A: φεύξεται. Legg. I. 635. B: εἴ τις ἐκ παίδων φευξεῖται διὰ τέλους. Theaet. 181. A: φευξόμεθα παρ' αὐτοὺς ἀπ' αὐτῶν καὶ τὰ ἀκίνητα κινούντων. 168. A: φεύξονται ἀφ' ἑαυτῶν εἰς φιλοσοφίαν. Legg. I. 635. C: φευξεῖσθαι τοὺς ἐν ἐκείνοις γεγυμνασμένους. Gorg. 507. D: ἀκολασίαν ... φευκτέον. Phaed. 62. D: φευκτέον εἶναι ἀπὸ τοῦ δεσπότου. Theaet. 167. D. Pol. II. 358. A. — Cum v. γραφὴν vel δίκην et absolute est *accusari, reum agi* et *accusatum esse*. Euth. 6. A: οὗ ἕνεκα τὴν γραφὴν φεύγω. 3. E: φεύγεις αὐτὴν (τὴν δίκην), ἢ διώκεις; Pol. III. 405. B: φεύγων τε καὶ διώκων. Legg. VI. 754. E: ἐὰν δ' ὁ φεύγων ὄφλῃ cet. 768. A. XII. 948. A. 956. B. IX. 855. D: κατὰ τὸ στόμα τοῦ διώκοντός τε καὶ φεύγοντος. XI. 929. B. IX. 855. E: τὸν ... φεύγοντα. Apol. 35. D: ἀσεβείας φεύγοντα ὑπὸ Μελίτου τουτουΐ. Euth. 8. C: φεύγοντες τὴν δίκην. Apol. 19. C: μήπως ἐγὼ ὑπὸ Μελίτου τοσαύτας δίκας φύγοιμι. **exsulo* s. *exsilio multor* vel *multatus sum*. Legg. IX. 867. C: δύο ... ἔτη φευγέτω. D. 871. D: φευγέτω ἀειφυγίαν. Id. 877. C. E: (ὅταν) ἐν ἀειφυγίᾳ τις φεύγῃ. C: τὸν φεύγοντα. Euthyd. 271. C: φεύγοντες ... ἐκεῖθεν. Legg. IX. 867. E: τὰς τῶν φευγόντων πράξεις. Ep. VII. 325. C: τῶν τότε φευγόντων φίλων. Menex. 242. B: τοὺς ἀδίκως φεύγοντας δικαίως κατήγαγον. Legg. IX. 867. D: καθάπερ ἅτερος ἔφευγε τὰ δύο (ἔτη). 868. A: φυγὼν μηκέτι κατέλθῃ. 871. D.

φευκτός, ή, όν, *fugiendus*. Ax. 369. B: οὐ φευκτὰς (τὰς λοιπὰς ἐπιτηδεύσεις ἐννοήσομεν);

φηγός, ἡ, *glans*. Pol. II. 372. C: μύρτα καὶ φηγοὺς σποδιοῦσι πρὸς τὸ πῦρ.

φήμη, ἡ, *fama, rumor; effatum* vel *narratio antiquitus tradita*. Tim. 27. B: ἡ τῶν ἱερῶν γραμμάτων φήμη. Pol. III. 415. D: τοῦτο ... ἕξει, ὅπῃ ἂν αὐτὸ ἡ φήμη ἀγάγῃ. Legg. II. 672. B: λόγος τις ἅμα καὶ φήμη ὑποῤῥεῖ πως ὡς cet.

XI. 932. A: εἰ ... τινὰ κατέχοι φήμη κωφὴ τῶν τοιούτων προοιμίων. Apol. 20. C: οὐ γὰρ δήπου σοῦ γε ... τοσαύτη φήμη τε καὶ λόγος γέγονεν, εἰ μή τι ἔπραττες ἀλλοῖον ἢ οἱ πολλοί. De lege 320. D: διὰ τί ... ποτε ... αὕτη ἡ φήμη κατεσκέδαται τοῦ Μίνω ὡς ἀπαιδεύτου τινὸς ... ὄντος; Crat. 359. E: ἡ τύχη τῆς φήμης. Legg. VIII. 838. C: ὅτι τὸ τῆς φήμης θαυμαστήν τινα δύναμιν εἴληχεν. Epin. 988. A: δικαιότερον ... τῆς ἐκ τῶν βαρβάρων ἐλθούσης φήμης τε ἅμα καὶ θεραπείας πάντων τούτων τῶν θεῶν ἐπιμελήσεσθαι τοὺς Ἕλληνας. 992. A. Legg. VI. 771. C: πιστεύσαντες ... τῇ παρούσῃ φήμῃ καὶ λόγῳ. Polit. 309. E: (ἆρ' οὐκ) ἐπονείδιστόν τινα εὐηθείας δικαιότατα λαμβάνει φήμην; Phil. 16. C: οἱ ... παλαιοὶ ... ταύτην φήμην παρέδοσαν. Legg. IV. 713. C: φήμην ... παραδεδέγμεθα τῆς τῶν τότε μακαρίας ζωῆς, ὡς ἄφθονα ... πάντα εἶχεν. VII. 822. C: ψευδῆ φήμην ἡμῶν κατὰ θεῶν ὑμνούντων. XII. 952. B: εἴ τινα φήμην τινῶν περὶ θέσεως νόμων ... εὗρέ τινας ἔχοντας, φράζειν cet. Apol. 18. C: ταύτην τὴν φήμην κατασκεδάσαντες. Pol. V. 463. D: αὗταί σοι, ἢ ἄλλαι φῆμαι ἐξ ἁπάντων τῶν πολιτῶν ὑμνήσουσιν εὐθὺς περὶ τὰ τῶν παίδων ὦτα —; Legg. X. 906. B: ὡς αἱ φῆμαί φασιν αἱ τῶν κακῶν. XI. 927. A: πιστεύειν ... ταῖς ἄλλαις φήμαις χρεὼν περὶ τὰ τοιαῦτα οὕτω πολλαῖσι καὶ σφόδρα παλαιαῖς οὔσαις. V. 738. C: καθιέρωσαν ... τοῖς τοιούτοις λόγοις φήμας τε καὶ ἀγάλματα cet. Etiam est fama ex opinione vulgari profecta. Legg. IX. 870. A: τῆς ἀπαιδευσίας τοῦ κακῶς ἐπαινεῖσθαι πλοῦτον αἰτία φήμη πρὸς τῶν Ἑλλήνων τε καὶ βαρβάρων. IX. 871. B: ὡς ἡ τοῦ νόμου ἀρὰ τὴν φήμην προτρέπεται. *vox divina s. divinitus missa; responsum, oraculum. Tim. 72. B: ὅτι τῆς δι' αἰνιγμῶν οὗτοι φήμης καὶ φαντάσεως ὑποκριταί. Legg. II. 664. D: διὰ θείας φήμης καταλελεῖφθαι. VII. 792. D: κατά τινα μαντείας φήμην. Phaed. 111. B: φήμας τε καὶ μαντείας καὶ αἰσθήσεις τῶν θεῶν ... γίγνεσθαι αὐτοῖς. Legg. I. 624. B: κατὰ τὰς παρ' ἐκείνου φήμας ταῖς πόλεσι ὑμῖν θέντος τοὺς νόμους. Epin. 985. C: ἢ κατὰ φήμας τε καὶ μαντείας λεχθέν τισιν (v. λεχθεῖσιν). — Simpl. vox (Legg. XI. 935. A: δι' αἰσχρῶν ὀνομάτων ἐπιφέρειν γυναικείους ἑαυτοῖς φήμας), *verbum* (Legg. XII. 966. C: τῇ φήμῃ μόνον τῶν νόμων συνακολουθοῦσι) et *nomen*. Legg. IV. 704. A: τοῦτο τάχ' ἂν ἴσως ... ἡ θεῶν ἐπωνυμία τῶν ἐν τῷ τόπῳ προσθείη τὴν αὐτῶν φήμην καίνῃ γενομένῃ τῇ πόλει. **omen*. Legg. IX. 878. A: φήμης ἕνεκα ἐπονομάζοντας. X. 908. A: τιμωρίας ἔχων ἐπωνυμίαν φήμην τινά. Ep. VI. 323. C: φήμην γὰρ ἀγαθὴν μαντεύομαι.

φημὶ, *dico*, *aio*, *affirmo*, cum neg. *nego*; *nomino*; *profiteor*; *narro*. Pol. I. 338. C: φημὶ γὰρ ἐγὼ εἶναι τὸ δίκαιον οὐκ ἄλλο τι ἢ cet. Gorg. 489. C: ὅτι ταὐτόν φημι εἶναι τὸ βέλτιον καὶ τὸ κρεῖττον. Abs. interpos. ἔγωγέ φημι Gorg.

526. C. In respons. affirmandi vi ponitur. Phaedr. 270. C: *φημί* (i. q. *vero*). Prot. 309. C: *τί φῄς* (v. *φής*); 312. C: *ἀνδρί, ὡς φῄς, σοφιστῇ*. Euthyd. 304. C: *ὡς ἐκείνω φατὸν οἵω τ' εἶναι διδάξαι* cet. Crat. 434. C: *ὅτι ἐπὶ τῷ αὐτῷ ἡμεῖς μέν φαμεν σκληρότης, Ἐρετριεῖς δὲ σκληρότηρ*. Prot. 330. D: *οὐκοῦν καὶ ὁσιότητά τινά φατε εἶναι;* Pol. II. 366. E: *ὅσοι ἐπαινέται φατὲ δικαιοσύνης εἶναι*. I. 329. E: *τοῖς γὰρ πλουσίοις πολλὰ παραμύθιά φασιν εἶναι*. Plur. *φασί* (vern. *sagt man*) Gorg. init. al. innum. Prot. 349. C: *ταῦτα εἰ μέν σοι δοκεῖ ἔτι ὥσπερ τότε, φαθί* (v. *φάθι*). Gorg. 475. E: *ἢ φαθὶ ἢ μὴ* (*nega*) *ἃ ἐρωτῶ*. Pol. V. 475. B. Legg. X. 902. B: *φάτω*. Prot. 330. C: *φαίην ἂν ἔγωγε ἀποκρινόμενος*. D: *φαῖμεν ἄν*. Phil. 63. C: *φαῖμεν ἂν αὖ τὸν νοῦν ... ἀνερωτῶντες*. Ib. *ποίων, φαῖεν ἂν ἴσως, ἡδονῶν;* Euthyd. 296. E: *πῶς φῶ ἐπίστασθαι —;* Crat. 434. E: *ἐπειδάν τις φῇ σκληρόν*. Phil. 35. E: *φῶμεν ἢ μὴ φῶμεν αὐτὸν ἐν μέσῳ τῶν παθημάτων εἶναι;* Pol. V. 474. C: *ὃν ἂν φῶμεν φιλεῖν τι*. Absol. interpositum *φῶμεν* Legg. X. 897. C. Phaedr. 273. B: *μὴ ὑπὸ μόνου φάναι τοῦ ἀνδρικοῦ συγκεκόφθαι*. Theaet. 165. A: *φάναι τε καὶ ἀπαρνεῖσθαι*. Crat. 429. D: *πότερον λέγειν μὲν οὐ δοκεῖ σοι εἶναι ψευδῆ, φάναι δέ; Οὔ μοι δοκεῖ οὐδὲ φάναι*. Prot. 317. D: *ἔφην ἐγώ*. Gorg. 466. E: *ἐπεὶ τὸ μέγα δύνασθαι ἔφης ἀγαθὸν εἶναι τῷ δυναμένῳ*. Crat. 438. A: *ἔφησθα*. Pol. VI. 501. C. VIII. 544. A. al. Prot. 310. B: *Πρωταγόρας, ἔφη, ἥκει, στὰς παρ' ἐμοί* (ubi *ἔφη* et *στὰς* cet. cohaerent). 330. B: *οὐκ ἔφη*. Phaed. 117. E: *ὁ δ' οὐκ ἔφη*. Prot. 317. D: *ὁ Καλλίας ἔφη* (nomine praepos.). 354. E: *ἀληθῆ, ἔφη, λέγεις, ὁ Πρωταγόρας*. Conv. 174. B: *κἀγώ, ἔφη* (*narravit*), *εἶπον ὅτι* cet. C: *εἰπεῖν ἔφη*. 180. C. al. Euthyd. 278. C: *ἐφάτην ... ἐπιδείξασθαι* (v. *ἐπιδείξεσθαι*) *τὴν προτρεπτικὴν σοφίαν*. 294. E: *ἐφάτην ἅμα ἀμφοτέρω*. Pol. V. 459. D: *ἔφαμεν δέ που ... πάντα τὰ τοιαῦτα χρήσιμα εἶναι*. Ep. III. 318. E: *οὐδὲν γὰρ ἂν ἕτερον ἔφησεν αἴτιον τίς εἶναι τῆς ἐμῆς μεταβολῆς*. Polit. 297. E: *ὃ δὴ δεύτερον ἐφήσαμεν*. Prot. 349. C: *ἐάν πῃ ἄλλῃ νῦν φήσῃς*. Pol. V. 479. B: *ἃ ἂν φήσωμεν*. Dem. 382. C: *οὐκ οἴομαι ἂν φῆσαι ὑμᾶς*. Theaet. 195. D: *φήσω ... ἐγώ*. Gorg. 449. C: *οὐδενὸς φήσεις βραχυλογωτέρου ἀκοῦσαι*. Theaet. 195. E: *τί οὖν, φήσει, τὰ ἕνδεκα —;* Phil. 13. A: *ὅτι προσαγορεύεις αὐτὰ ἀνόμοια ὄντα ἑτέρῳ, φήσομεν, ὀνόματι*. Soph. 244. B: *φαμὲν γάρ; φήσουσιν*. Med. Alc. II. 142. D: *ἐξ ἐκείνων φάμενοι κακά σφισιν εἶναι*. Praegresso verbo dicendi *φησί, φασί, ἔφη* al. subiiciuntur. Phaed. 115. C. Crat. 408. A. 412. B. al. **puto, existimo, censeo; statuo, sumo*; etiam *iubeo*. Prot. 338. D: *ὡς ἐγώ φημι χρῆναι τὸν ἀποκρινόμενον ἀποκρίνεσθαι*. Crat. 413. C: *ὁ δὲ τούτων ... πάντων καταγελᾶν φησίν*. 433. C: *οὕτω φαμέν, ἢ ἄλλως;* Polit. 286. C: *τούτων ἕνεκα ... τὰ πρόσθεν νῷν*

εἰρῆσθαι φαθί. Phil. 26. D: ἀλλὰ τρίτον φαθί με λέγειν. Phaed. 82. A: ἢ ποῖ ἂν ἄλλοσε φαῖμεν τὰς τοιαύτας ἰέναι; 83. D: ταῦτα ἀληθῆ εἶναι ἅπερ ἂν καὶ τὸ σῶμα φῇ. Gorg. 489. C: ἐὰν οὗτοι φῶσιν. Parm. 130. C: πότερα χρὴ φάναι ὥσπερ περὶ ἐκείνων, ἢ ἄλλως. Pol. VI. 508. B: τοῦτον ... φάναι (i. q. φαθί) με λέγειν τὸν τοῦ ἀγαθοῦ ἔκγονον. Theaet. 197. A: (εἰ) τούτων ... ἂν ἔφη ἀπέχεσθαι. Pol. I. 353. D: ψυχῆς φήσομεν ἔργον εἶναι; Tim. 72. B: πεφάσθω (*sumtum esto*). — Verb. φατέον. Phil. 40. B. 56. D. Legg. IX. 864. A.

φθάνω, *anteverto*; cum partic. i. q. *prius* vel *ante*. Ep. VII. 349. C: φθάνει ... Ἡρακλείδης εἰς τὴν Καρχηδονίων ἐπικράτειαν ἐκφυγὼν (*ante effugerat*) cet. Phaedr. 243. E: (ἵνα) μὴ ἀνήκοος ὢν φθάσῃ χαρισάμενος τῷ μὴ ἐρῶντι (*ne amoris experti prius gratificetur quam audiverit*). Euth. 9. A: ὃς ἂν ... φθάσῃ τελευτήσας διὰ τὰ δεσμά. Polit. 293. E: σμικρόν γε ἔφθης με ἐρόμενος. Pol. V. 466. D: ἔφθης ... εἰπὼν ἢ ἔμελλον ὑπολήψεσθαι. Alc. I. 104. C: καὶ ἴσως γε ... οὐκ οἶσθ' ὅτι σμικρόν με ἔφθης. Polit. 266. D: ἵνα μή με φθῇς (v. μὴ μεμφῇς) ἐρωτήσας τὴν βραχυτέραν ὁδὸν cet. Euthyd. 275. B: μή τις φθῇ ἡμᾶς ἐπ' ἄλλο τι ἐπιτήδευμα τρέψας αὐτοῦ τὴν διάνοιαν καὶ διαφθείρῃ. Alc. I. 131. E: οὐκοῦν ἔφησθα σμικρὸν φθῆναί με προσελθόντα σοι —; Pol. II. 375. C: αὐτοὶ φθήσονται αὐτὸ δράσαντες. Etiam est *ante omnia*, igitur *statim* aliquid facio; unde οὐκ ἂν φθάνοις λέγων proprie est: *nonne statim dicis* vel *dices?* h. e. *statim* vel *iamiam dic*. Etenim Graeci interrogationem imperandi sensu ponunt. Huiusmodi autem interrogandi formis etiam extra interrogationem soliti sunt uti; quocirca etiam prima et secunda verbi persona dicebant οὐκ ἂν φθάνοιμι et φθάνοις, v. c. λέγων: *iamiam dicam*, germ. *so will ich es sagen*. Conv. 214. E: οὐκ ἂν φθάνοιμι (intell. τἀληθῆ λέγων). Phaed. 100. C: ἀλλὰ μὴν ... ὡς διδόντος σοι οὐκ ἂν φθάνοις περαίνων (nos: *so führe es nur aus*). Conv. 185. E: οὐκ ἂν φθάνοις λέγων (nos: *so rede nur*). Euthyd. 272. D: οὐκ ἂν φθάνοις ἀκούων (*das sollst du gleich hören*).

φθαρτικός, ή, όν, *corrumpens*. Def. 416: μανία ἕξις φθαρτικὴ ἀληθοῦς ὑπολήψεως.

φθέγγομαι, *dico, vocem mitto, loquor; pronuntio; significo; profero; sono*. Phaedr. 238. D: τὰ νῦν γὰρ οὐκέτι πόῤῥω διθυράμβων φθέγγομαι. 241. E: ὅτι ἤδη ἔπη φθέγγομαι. Crat. 435. A: ὃ διανοούμενος φθέγγομαι. Theaet. 179. D: εἴτε ὑγιὲς εἴτε σαθρὸν φθέγγεται. Ion. 534. D: (ὅτι) ὁ θεὸς αὐτός ἐστιν ὁ λέγων, διὰ τούτων δὲ φθέγγεται πρὸς ἡμᾶς. Soph. 257. D: ὃ ... μὴ καλὸν ἑκάστοτε φθεγγόμεθα. Polit. 307. A. Soph. 243. D: τί ποτε ἄρα τοῦτ' ἐπ' ἀμφοῖν φθέγγεσθε λέγοντες ἄμφω καὶ ἑκάτερον εἶναι; Legg. VII. 800. A: φθεγγέσθω. II. 664. A: ὅντινά ποτε τρόπον ἡ τοιαύτη ξυνοικία πᾶσα περὶ τούτων ἓν καὶ ταὐτὸν ὅτι μάλιστα

φθέγγοιτ' ἀεὶ cet. E. VII. 800. C. Pol. V. 463. E: *εἰ ἄνευ ἔργων οἰκεῖα ὀνόματα διὰ τῶν στομάτων μόνον φθέγγοιντο.* Crat. 434. E: *ὅταν τοῦτο φθέγγωμαι.* Ep. V. 321. E: *ἥτις ... τῶν πολιτειῶν τὴν αὐτῆς φθέγγηται φωνὴν πρός τε θεοὺς καὶ πρὸς ἀνθρώπους.* Legg. II. 664. C: *ἐὰν ἄλλως πως φθεγγώμεθα λέγοντες.* Soph. 244. A: *ὁπόταν ὂν φθέγγησθε.* Theaet. 163. B: *ὅταν φθέγγωνται (οἱ βάρβαροι).* Pol. V. 462. C: *ὅταν μὴ ἅμα φθέγγωνται ἐν τῇ πόλει τὰ τοιάδε ῥήματα, τό τε ἐμὸν καὶ τὸ οὐκ ἐμόν.* Prot. 334. D: *ὥσπερ ... ᾤου ἂν χρῆναι ... μεῖζον φθέγγεσθαι ἢ πρὸς τοὺς ἄλλους.* 342. E: *τοιαῦτα οἷόν τ' εἶναι ῥήματα φθέγγεσθαι.* Soph. 237. B: *τὸ μηδαμῶς ὂν τολμῶμέν που φθέγγεσθαι.* Parm. 161. A: *οὐδὲ φθέγγεσθαι δεῖ οὐδέν.* Pol. II. 368. C: *ἔτι ἐμπνέοντα καὶ δυνάμενον φθέγγεσθαι.* Legg. II. 655. D: *οὔτε ὅσιον τὸ παράπαν φθέγγεσθαι.* VII. 791. E: *φθέγγεσθαί που μετὰ βοῆς εὐθὺς πᾶν εἴωθε τὸ γιγνόμενον.* XI. 938. A: *μὴ ἐναντία δίκῃ φθέγγεσθαι.* Euthyd. 305. B: *φθεγγόμενα καὶ βοῶντα μέγιστον τὰ σιδήρια λέγεται.* Legg. VII. 817. C: *μεῖζον φθεγγομένους ἡμῶν (ὑποκριτάς).* Crat. 394. C: *ταῖς μὲν συλλαβαῖς καὶ τοῖς γράμμασι διαφωνοῦντα, τῇ δὲ δυνάμει ταὐτὸν φθεγγόμενα.* Legg. II. 683. E: *τὰ δὲ φθεγγόμενα πάσας φωνάς.* Ep. VII. 347. E: *πρὸς ἐμὲ δὲ οὐδὲν ὅλως ἐφθέγγετο περὶ αὐτῶν.* Legg. VIII. 830. C: *ὃ σὺ νῦν ἔφθεγξαι.* Ep. VII. 342. B: *ὃ (ὄνομα) νῦν ἐφθέγμεθα.* Phil. 24. C: *ὃ σὺ νῦν ἐφθέγξω.* Phaed. 118. A: *ὃ δὴ τελευταῖον ἐφθέγξατο.* Theaet. 162. A. Pol. VIII. 568. A: *ὅτι καὶ τοῦτο ... ἐφθέγξατο ὡς* cet. Charm. 161. D: *ἢ τὰ ῥήματα ἐφθέγξατο.* Crat. 399. B: *ἀντὶ ὀξείας ... βαρεῖαν ἐφθεγξάμεθα.* Soph. 238. B: *πῶς οὖν ἂν ἢ διὰ τοῦ στόματος φθέγξαιτ' ἄν τις ... τὰ μὴ ὄντα —;* Parm. 147. D: *ἐάν τε ἅπαξ ἐάν τε πολλάκις ταὐτὸν ὄνομα φθέγξῃ.* Soph. 243. B: *ὅταν τις αὐτῶν φθέγξηται λέγων ὡς* cet. C. Legg. XI. 935. B. Ion. 536. B: *ἐπειδὰν δὲ τούτου τοῦ ποιήτου φθέγξηταί τις μέλος.* Phil. 28. B: *ἵνα μηδὲν ἡμεῖς ... παρὰ μέλος φθεγξώμεθά τι.* Pol. VI. 505. C: *ἐπειδὰν τὸ τοῦ ἀγαθοῦ φθέγξωνται ὄνομα.* Gorg. 485. D: *ἐλεύθερον ... καὶ μέγα ... μηδέποτε φθέγξασθαι.* Phaed. 93. A: *πολλοῦ ἄρα δεῖ ἐναντία γε ἁρμονίαν κινηθῆναι ἢ φθέγξασθαι ... τοῖς αὐτῆς μέρεσιν.* Soph. 238. C. Crat. 429. E. Legg. III. 696. D. Phil. 57. B: *ἆρ' οὔ τινα τέχνην ὡς ὁμώνυμον φθεγξάμενος ... ἐπανερωτᾷ —;* Soph. 236. E: *τοῦτο φθεγξάμενον.* Phil. 49. B: *γελοίους τοιούτους φάσκων εἶναι τἀληθῆ φθέγξει.* Soph. 227. D: *καθαρμὸν αὐτὸν λέγοντες ἐν μέλει φθεγξόμεθα.* Etiam *clamo; eiulo.* Legg. XII. 960. A: *ἐν ταῖς ὁδοῖς πορευόμενον φθέγγεσθαι.* Pol. I. 336. C: *εἰς τὸ μέσον φθεγξάμενος ... ἔφη.* **nomino, appello.* Epin. 987. C: *Κρόνου δ' αὐτόν τινες ἐπωνυμίαν φθέγγονται.* Phil. 34. A: *ταύτην ... τὴν κίνησιν ὀνομάζων αἴσθησιν οὐκ ἀπὸ*

τρόπον φθέγγοι' ἄν. Legg. VII. 814. E: ἧς τὸ πλεῖστον μέρος ὄρχησίν τινά τις προσαγορεύων ὀρθῶς ἂν φθέγγοιτο. Theaet. 157. B: ἀλλὰ καὶ φύσιν φθέγγεσθαι (δεῖ) γιγνόμενα καὶ ποιούμενα cet. Pol. VII. 527. A: πάντα οὕτω φθεγγόμενοι. Phil. 25. C: θερμότερον ἐφθεγγόμεθα νῦν δή που τι καὶ ψυχρότερον. Soph. 262. D: τῷ πλέγματι τούτῳ τὸ ὄνομα ἐφθεγξάμεθα λόγον. 240. A: φθεγξάμενος εἴδωλον ἐπὶ πᾶσιν ὡς ἓν ὄν.

φθέγμα, τό, *vox*, *sonus*; etiam *fremitus*. Pol. X. 616. A: (τὸν φόβον) μὴ γένοιτο ἑκάστῳ τὸ φθέγμα, ὅτε ἀναβαίνοι. 615. E: καταμανθάνοντες τὸ φθέγμα (quod refertur ad v. ἐμυκᾶτο, int. τὸ στόμιον). Legg. II. 655. A: ἆρ' ὅμοια τά τε σχήματα καὶ τὰ φθέγματα ξυμβαίνει γίγνεσθαι; VII. 812. D: ἀποδιδόντας πρόςχορδα τὰ φθέγματα τοῖς φθέγμασι.

φθειριστικός, ή, όν, *pedicularis*, fem. *peritia pedic.* Soph. 227. B: σεμνότερον δέ τι τὸν διὰ στρατηγικῆς ἢ φθειριστικῆς δηλοῦντα θηρευτικὴν οὐδὲν νενόμικεν.

φθείρω, *perdo*, *corrumpo*. Pol. VI. 491. C: ἔτι ... τὰ λεγόμενα ἀγαθὰ πάντα φθείρει καὶ ἀποσπᾷ. X. 609. D. Legg. X. 906. A: φθείρει ... ἡμᾶς ἀδικία καὶ ὕβρις μετὰ ἀφροσύνης. III. 683. A: ποῖοι (νόμοι) φθείρουσι τὰ φθειρόμενα. Pol. X. 605. B: (ὅταν τις) τοὺς ... χαριεστέρους φθείρῃ. Tim. 89. C: ἣν ὅταν τις ... φθείρῃ φαρμακείαις. Legg. VIII. 845. D: οὔτε γὰρ γῆν ... ῥάδιον φθείρειν φαρμακεύσεσιν cet. XII. 958. C: ὡς ὅλην τὴν πόλιν καὶ νόμους φθείρων θανάτῳ ζημιούσθω. Phil. 32. B: ὅταν ... τοῦτο φθείρηται. Legg. IV. 708. C: δι' ἃ καὶ πρότερον ἐφθάρη. III. 697. D: τούτου ... φθαρέντος. Pass. et med. *pereo* vel *intereo*. Ep. V. 321. E: μιμουμένη δ' ἄλλην (πολιτείαν) φθείρεται. Phil. 55. A: οὐκοῦν τῷ γίγνεσθαί γε τοὐναντίον ἅπαντες τὸ φθείρεσθαι φαῖμεν ἄν; Def. 411. A: καὶ πρότερον ὂν καὶ νῦν μὴ ἐφθαρμένον (sic codd. pro vulg. διεφθαρμένον). Legg. III. 676. B: οὐκ ἐλάττους ἐφθαρμέναι (πόλεις). IX. 873. D: τοῖς οὕτω φθαρεῖσι. Locr. 94. D: οὔποκα φθαρησούμενον (v. φθαρησόμενον) ὑπ' ἄλλω αἰτίω cet.

φθίνω, *decresco*; *dilabor*, *intereo*. Phaedr. 246. E: τοῖς ἐναντίοις φθίνει τε καὶ διόλλυται. Tim. 81. B: φθίνει πᾶν (opp. αὐξάνεται). D. Critia 121. A. Legg. X. 893. E. Phaed. 71. B: καὶ καλοῦμεν οὕτω τὸ μὲν αὐξάνεσθαι, τὸ δὲ φθίνειν. Theaet. 155. A: μήτε αὐξάνεσθαί ποτε μήτε φθίνειν. Id. Parm. 156. B. Tim. 33. A: (ὡς) φθίνειν ποιεῖ. Parm. 157. B: οὔτε αὐξανόμενον οὔτε φθῖνον. Id. Conv. 211. A. Epin. 979. A: αὐξανομένην καὶ φθίνουσαν ἐμποιήσας. Pol. VIII. 546. B: καὶ αὐξόντων καὶ φθινόντων. Tim. 81. D: φθίνοντα πάλιν δέχεσθε. 77. A: διὰ ταῦτα ὑπὸ τούτων τηκόμενον κενούμενόν τε ἔφθινε.

φθίσις, ἡ, *deminutio*, *decessio*; *defectio*. Phaed. 71. B:

μείζονος ... πράγματος καὶ ἐλάττονος μεταξὺ αὔξησις καὶ φθίσις. Def. 411. B: γῆρας φθίσις ἐμψύχου ὑπὸ χρόνου γιγνομένη. Pol. VII. 521. E: σώματος ... αὔξης καὶ φθίσεως ἐπιστατεῖ (γυμναστική). Tim. 33. C: αὐτὸ γὰρ ἑαυτῷ τροφὴν τὴν ἑαυτοῦ φθίσιν παρέχον ... ἐκ τέχνης γέγονεν. Legg. X. 897. A: ὅσαι ... ἄγουσι πάντα εἰς αὔξησιν καὶ φθίσιν cet. Phil. 42. D: καί τισιν αὔξαις καὶ φθίσεσι.

φθόγγος, ὁ, *sonus.* Menex. 235. B: οὕτως ἔναυλος ὁ λόγος τε καὶ ὁ φθόγγος παρὰ τοῦ λέγοντος ἐνδύεται εἰς τὰ ὦτα. Soph. 263. E: τὸ ... ῥεῦμα διὰ τοῦ στόματος ἰὸν μετὰ φθόγγου. Phil. 18. B: φωνῆς μὲν οὔ, φθόγγου δὲ μετέχοντά τινος. Tim. 37. B: φερόμενος ἄνευ φθόγγου καὶ ἠχῆς (λόγος). Theaet. 206. A: τὸ τῷ φθόγγῳ ἑκάστῳ δύνασθαι ἐπακολουθεῖν. Tim. 80. A: ὅσοι φθόγγοι ταχεῖς καὶ βραδεῖς ὀξεῖς τε καὶ βαρεῖς φαίνονται. Hipp. mai. 298. A: οἱ φθόγγοι οἱ καλοί. Phil. 51. B: τὰς τῶν φθόγγων (ἡδονάς). D. Epin. 978. A. Phaed. 86. C: αἱ (ἁρμονίαι) ... ἐν τοῖς φθόγγοις. Pol. III. 400. A. Legg. VII. 812. D: τοῖς φθόγγοις τῆς λύρας. E. Soph. 253. B: περὶ τοὺς τῶν ὀξέων καὶ βαρέων φθόγγους. Crat. 389. D: εἰς τοὺς φθόγγους καὶ τὰς συλλαβὰς ... τιθέναι. Pol. III. 397. A: κυνῶν ... καὶ ὀρνέων φθόγγους. 399. A. C. VII. 531. A: τὰς ... συμφωνίας καὶ φθόγγους.

φθόη, ἡ, *tabes.* Legg. XI. 916. A: ἀνδράποδον ... κάμνον φθόῃ.

φθονερός, ά, όν, *invidus.* Prot. 361. E: φθονερός τε ἥκιστ' ἀνθρώπων. Legg. V. 731. A. Phil. 49. D: οὔτ' ἄδικον οὔτε φθονερόν ἐστι τὸ χαίρειν. Legg. III. 694. B: οὐ φθονεροῦ τοῦ βασιλέως ὄντος. Alc. II. 147. C: ὅταν λάβηται ἀνδρὸς φθονεροῦ. Pol. VI. 500. A: φθονεῖν τῷ μὴ φθονερῷ. IX. 580. A. Phaedr. 239. A: φθονερὸν δὴ ἀνάγκη εἶναι.

φθονερῶς, cum v. ἔχειν *invidere.* Phaedr. 243. C: (ὡς) ἔχουσι πρὸς τὰ παιδικὰ φθονερῶς τε καὶ βλαβερῶς.

φθόνος, ὁ, *invidia.* Phaedr. 247. A: φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται. Pol. V. 476. E: ὡς, εἴ τι οἶδεν, οὐδεὶς αὐτῷ φθόνος, ἀλλ' ἄσμενοι ἂν ἴδοιμεν εἰδότα τι. Tim. 29. E: ἀγαθῷ ... οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος. Apol. 28. A: ἡ τῶν πολλῶν διαβολή τε καὶ φθόνος. Def. 416: φθόνος λύπη ἐπὶ φίλων ἀγαθοῖς. Forma φθόνος οὐδείς in eo ponitur qui non gravatur vel recusat, sed libenter aliquid facit, dicit, dicturus est al. Phaed. 61. D: ἃ ... τυγχάνω ἀκηκοώς, φθόνος οὐδεὶς λέγειν. Soph. 217. B: ἀλλ' οὐδεὶς ... φθόνος αὐτῷ διελθεῖν αὐτά. B. Tim. 23. D. Legg. I. 641. D. Etiam pass. *non recusatur,* h. e. *licet.* Legg. II. 664. A: εἰ ... ἄλλῃ πῃ δοκεῖ ἢ ταύτῃ, πρὸς ταῦτα οὐδεὶς φθόνος ἀμφισβητῆσαι τῷ λόγῳ. VII. 802. A. Phil. 48. B: τὸ ... ὄνομα φθόνου. Pol. VI. 500. C: φθόνου τε καὶ

δυςμενείας ἐμπίπλασθαι. (Id. Lys. 215. D.) Legg. VIII. 844. C: *φθόνου θ' ἅμα καὶ δυςκόλου ψυχῆς ὑπεχέτω δίκην.* Epin. 988. B: *ἄνευ φθόνου.* Phaedr. 253. B: *φθόνῳ ... χρώμενοι.* Phil. 50. A: *κεραννύντες ἡδονὴν φθόνῳ.* Pol. IX. 586. C: *ἢ φθόνῳ διὰ φιλοτιμίαν ἢ βίᾳ* cet. Legg. I. 635. B: *τῷ μὴ φθόνῳ τὰ λεγόμενα, ἀλλ' εὐνοίᾳ δεχομένῳ.* Apol. D: *φθόνῳ καὶ διαβολῇ χρώμενοι.* Prot. 316. D: *φοβηθέντες τὸν φθόνον.* Gorg. 457. D: *κατὰ φθόνον οἴονται τὸν ἑαυτῶν* (*ad invidiam sibi faciendam*) *λέγειν.* Phil. 47. E: *ζῆλον καὶ φθόνον.* 49. A: *τὸν παιδικὸν ἰδόντες φθόνον.* 50. A: *ἡδονὴν ... ἐπὶ τοῖς τῶν φίλων κακοῖς οὐ φθόνον ἔφαμεν εἶναι τὸν τοῦτο ἀπεργαζόμενον;* Legg. IX. 870. C: *αὐτῷ τῷ κεκτημένῳ τὸν φθόνον.* Hipp. mai. 282. A: *εὐλαβούμενος ... φθόνον τῶν ζώντων.* Ep. VII. 344. C. Prot. 316. D: *οὐ γὰρ σμικροὶ περὶ αὐτὰ φθόνοι ... γίγνονται.* Legg. III. 679. C: *ζῆλοί τε ... καὶ φθόνοι οὐκ ἐγγίγνονται.* VII. 801. E: *νόμος ἄνευ φθόνων εὐθὺς γίγνοιτ' ἂν ὅδε.* IX. 863. E: *τὴν ... φθόνων καὶ ἐπιθυμιῶν ἐν ψυχῇ τυραννίδα.* Ep. III. 316. E: *εὐλαβούμενον τὰς ἐκ τῶν φθόνων διαβολάς.* VII. 344. B: *ἄνευ φθόνων ἐρωτήσεσι καὶ ἀποκρίσεσι χρωμένων.* Legg. XI. 934. A: (*ἐν*) *φθόνοις ἢ θυμοῖς* (*ὁ κακουργήσας*). IX. 870. C: *φθόνους ἐντίκτουσα.*

φθονῶ, *invideo* et (propter invidiam) *recuso*, *denego*. Theag. 125. A: *ἔπειτα φθονεῖς ... αὐτῷ —;* Prot. 327. A: *ὥσπερ νῦν τῶν δικαίων ... οὐδεὶς φθονεῖ.* De virt. 377. A: *οὐδεὶς ἄρα φθονεῖ τῶν ἀγαθῶν ἀνδρῶν ἄλλῳ, ὥστε ἀγαθὸν καὶ ὅμοιον ἑαυτῷ ποιῆσαι.* Euth. 3. B: *ἀλλ' ὅμως φθονοῦσιν ἡμῖν πᾶσι τοῖς τοιούτοις.* Gorg. 489. A: *μὴ φθόνει μοι ἀποκρίνασθαι τοῦτο.* Pol. VII. 528. A: *φθονοῖς μὴν οὐδ' ἂν ἄλλῳ, εἴ τίς τι δύναιτο ἀπ' αὐτῶν ὄνασθαι.* Phaedr. 232. D: *οὐκ ἂν τοῖς συνοῦσι φθονοῖεν.* 240. A: *ἐραστὴν παιδικοῖς φθονεῖν ... οὐσίαν κεκτημένοις.* Men. 93. C. De lucri cup. 228. C: *οὐκ οἰόμενος δεῖν οὐδενὶ σοφίας φθονεῖν.* Phil. 48. B: *ὁ φθονῶν ... ἐπὶ κακοῖς τοῖς τῶν πέλας ἡδόμενος ἀναφανήσεται.* Pol. IX. 579. B: *φθονῶν καὶ τοῖς ἄλλοις πολίταις, ἐάν τις ἔξω ἀποδημῇ καί τι ἀγαθὸν ὁρᾷ.* Euthyd. 279. D: *φθονῶν καὶ διακωλύων.* Legg. V. 730. E: *τὸν ... φθονοῦντα.* Hipp. mai. 283. E: *οὐ γάρ που ἐφθόνουν γε τοῖς ἑαυτῶν παισὶν ὡς βελτίστοις γενέσθαι.* De virt. 376. D. Apol. 33. A: *οὐδενὶ πώποτε ἐφθόνησα.* Menex. 238. A: *τούτου ... τοῦ καρποῦ οὐκ ἐφθόνησεν, ἀλλ' ἔνειμε καὶ τοῖς ἄλλοις.* Prot. 320. C: *μὴ φθονήσῃς* (*ne gravere*), *ἀλλ' ἐπίδειξον.* Theaet. 169. C. Conv. 222. C: *ἀλλ' ἔασον ... καὶ μὴ φθονήσῃς.* Pol. I. 338. A: *μὴ φθονήσῃς καὶ Γλαύκωνα τόνδε διδάξαι καὶ τοὺς ἄλλους.* Euthyd. 297. B: *καὶ μή μοι φθονήσῃς τοῦ μαθήματος.* Hipp. min 372. E: *μὴ φθονήσῃς ἰάσασθαι τὴν ψυχήν μου.* Prot. 320. C: *ἀλλ' ... οὐ φθονήσω.* Lach. 200. B. Ion. [illegible]. D: *δῆλον ...*

ὅτι οὐ φθονήσεις μοι ἐπιδεῖξαι. Hipp. min. 363. C: δῆλον ὅτι οὐ φθονήσει Ἱππίας.

φθορά, ἡ, interitus; pernicies. Phil. 31. E: δίψος δ' αὖ φθορὰ καὶ λύπη καὶ λύσις cet. Pol. VIII. 546. A: ἐπεὶ γενομένῳ παντὶ φθορά ἐστιν cet. Tim. 22. D: διὰ μακρῶν χρόνων γιγνομένη τῶν ἐπὶ γῆς πυρὶ πολλῷ φθορά. 72. E: ἵν' οὖν μὴ φθορὰ διὰ νόσους ὀξεῖα γίγνοιτο cet. Legg. III. 677. E: ὅτε ἐγένετο ἡ φθορά. V. 741. E: νόσων ἢ πολέμων φθορά. Phaed. 95. E: περὶ γενέσεως καὶ φθορᾶς τὴν αἰτίαν διαπραγματεύσασθαι. Parm. 136. B. Pol. VI. 485. A. Tim. 20. E: ὑπὸ χρόνου καὶ φθορᾶς ἀνθρώπων ἐφανισμένα (ἔργα). Critia 112. A: πρὸ τῆς ἐπὶ Δευκαλίωνος φθορᾶς. Legg. III. 702. A: τοὺς περιλιπεῖς γενομένους τῆς φθορᾶς. Menex. 241. E: ἀλλὰ μὴ τῇ τῶν Ἑλλήνων ἐπιβουλεύειν φθορᾷ. Phaed. 106. D: εἰ τό γε ἀθάνατον ... φθορὰν δέξεται. Polit. 270. A: ἄλλην αὖ φθορὰν ζώων παντοίων ἀπειργάσατο. Phil. 32. B: τὴν ... φθορὰν λύπην εἶναι. 35. E: ὅσα περὶ σωτηρίαν τ' ἐστὶ τῶν ζώων καὶ τὴν φθοράν. 55. A: τὴν ... φθορὰν καὶ γένεσιν. Tim. 21. D: διὰ ... χρόνον καὶ φθορὰν τῶν ἐργασαμένων. 23. C: ὑπὲρ τὴν μεγίστην φθορὰν ὕδασιν. 52. A: φθορὰν οὐ προςδεχόμενον. Legg. IV. 715. D: φθορὰν ὁρῶ τῇ τοιαύτῃ (πόλει) ἑτοίμην οὖσαν. Polit. 270. C: φθοραὶ ... τότε μέγισται ξυμβαίνουσι τῶν τε ἄλλων ζώων cet. Tim. 22. C: πολλαὶ καὶ κατὰ πολλὰ φθοραὶ γεγόνασιν ἀνθρώπων καὶ ἔσονται. Legg. III. 680. D: ὑπὸ ἀπορίας τῆς ἐν ταῖς φθοραῖς. X. 894. B: γενέσεσι καὶ φθοραῖς. Phaed. 96. B: τούτων τὰς φθορὰς σκοπῶν. Pol. VI. 490. E: ταύτης ... τῆς φύσεως δεῖ θεάσασθαι τὰς φθοράς. Tim. 82. B: φθορὰς ... ἀπείρους παρέξεται. Critia 109. D. Legg. III. 677. A: τὸ πολλὰς ἀνθρώπων φθορὰς γεγονέναι κατακλυσμοῖς τε καὶ νόσοις cet.

φθόρος, ὁ, pernicies. Euthyd. 285. B: εἴτε καὶ παρ' ἄλλου του ἐμαθέτην φθόρον τινὰ καὶ ὄλεθρον τοιοῦτον ὥστε cet.

φιάλη, ἡ, phiala. Conv. 223. C: πίνειν ἐκ φιάλης μεγάλης ἐπὶ δεξιά. Critia 120. B: πιὼν καὶ ἀναθεὶς τὴν φιάλην εἰς τὸ ἱερὸν τοῦ θεοῦ. A: χρυσαῖς φιάλαις ἐκ τοῦ κρατῆρος ἀρυτόμενοι. Legg. VII. 819. B: φιάλας ἅμα χρυσοῦ καὶ χαλκοῦ ... κεραννύντες.

φιλαθήναιος, ὁ ἡ, Atheniensibus amicus. Tim. 21. E: μάλα ... φιλαθήναιοι ... εἶναί φασιν.

φιλαίτιος, ὁ ἡ, obiurgandi cupidus. Legg. X. 903. A: τῷ φιλαιτίῳ τῆς ἀμελείας πέρι θεῶν.

φιλαναλωτής, ὁ, prodigus. Pol. VIII. 548. B: φιλαναλωταὶ (al. φιλαναλῶται) ... ἀλλοτρίων δι' ἐπιθυμίαν.

φίλανδρος, ὁ ἡ, virosus. Conv. 191. E: ὅσαι ... γυναῖκες φίλανδροί τε καὶ μοιχεύτριαι.

φιλανθρωπία, amor hominum. Def. 412. E: φιλ. ἕξις

εὐάγωγος ἤθους πρὸς ἀνθρώπου φιλίαν. Euth. 3. D: *ὑπὸ φιλανθρωπίας.*

φιλάνθρωπος, ὁ ἡ, hominum amans. Legg. IV. 713. D: *ὁ θεὸς φιλάνθρωπος ὤν.* Conv. 189. D: *ἔστι ... θεῶν φιλανθρωπότατος.*

φιλαπεχθημόνως, cum v. *ἔχειν libenter inimicitias gerere.* Pol. VI. 500. B: *λοιδορουμένους τε αὑτοῖς (inter se obtrectantes) καὶ φιλαπεχθημόνως ἔχοντας.*

φιλάργυρος, ὁ ἡ, pecuniae cupidus. Pol. I. 347. B: *ὅτι τὸ φιλότιμόν τε καὶ φιλάργυρον εἶναι ὄνειδος λέγεταί τε καὶ ἔστιν.* Gorg. 515. E: *φιλαργύρους.*

φίλαρχος, ὁ ἡ, imperii vel *imperandi cupidus.* Pol. VIII. 549. A: *φίλαρχος ... καὶ φιλότιμος.* Phaed. 82. C: *ὥσπερ οἱ φίλαρχοί τε καὶ φιλότιμοι.*

φιλέλλην, ὁ ἡ, Graecorum amans vel *studiosus.* Ep. VIII. 354. A: *ὀρθότατα φιλέλλην ἂν λεχθείη.* Pol. V. 470. E: *ἀλλ' οὐ φιλέλληνες;*

φιλεραστής, ὁ ἡ, amatoris studiosus, amatori deditus. Conv. 192. B: *πάντως ... ὁ τοιοῦτος παιδεραστής τε καὶ φιλεραστὴς γίγνεται.*

φιλεραστία, ἡ, amor quo quis amatorem amplectitur. Conv. 213. D: *ὡς ἐγὼ τὴν τούτου μανίαν τε καὶ φιλεραστίαν πάνυ ὀῤῥωδῶ.*

φιλέταιρος, ὁ ἡ, amicorum studiosus. Lys. 211. E: *οὕτως ἐγὼ φιλέταιρός τίς εἰμι.*

φιλήκοος, ὁ ἡ, audiendi cupidus. Pol. VII. 535. D: *μηδὲ φιλήκοος μηδὲ ζητητικός.* Lys. 206. C. Euthyd. 274. C. 304. C. Pol. VIII. 548. E: *φιλόμουσον ... καὶ φιλήκοον μέν, ῥητορικὸν δ' οὐδαμῶς.* V. 475. D: *οἵ τε ... φιλοθεάμονες ... οἵ τε φιλήκοοι* cet. 476. B.

φιλία, ἡ, amicitia. Conv. 182. C: *ὁ ... Ἀριστογείτονος ἔρως καὶ ἡ Ἁρμοδίου φιλία βέβαιος γενομένη.* 195. C: *φιλία καὶ εἰρήνη.* Pol. X. 595. A: *καίτοι φιλία γέ τίς με καὶ αἰδὼς ἐκ παιδὸς ἔχουσα περὶ Ὁμήρου ἀποκωλύει λέγειν.* Legg. III. 698. C: *καὶ διὰ ταῦτα πάνθ' ἡμῖν ξυνέπεσε πρὸς ἡμᾶς αὐτοὺς σφοδρὰ φιλία.* VIII. 837. B: *φιλία ... ἡ μὲν ἀπὸ ἐναντίων δεινὴ καὶ ἀγρία ... ἡ δ' ἐκ τῶν ὁμοίων ἥμερός τε καὶ κοινὴ διὰ βίου.* Phaedr. 231. E: *τὸν ἄξιον, τῆς σῆς φιλίας.* Polit. 304. E: *εἴτε πολεμητέον εἴτε διὰ φιλίας ἀπαλλακτέον.* Conv. 188. C: *φιλίας θεῶν καὶ ἀνθρώπων δημιουργός.* Pol. IX. 576. A: *φιλίας ἀληθοῦς τυραννικὴ φύσις ἀεὶ ἄγευστος.* Soph. 242. E: (*ὡς τὸ ὄν*) *ἔχθρᾳ ... καὶ φιλίᾳ συνέχεται.* Conv. 179. C: *οὓς ἐκείνη τοσοῦτον ὑπερεβάλετο τῇ φιλίᾳ διὰ τὸν ἔρωτα ὥστε* cet. 192. C: *ἐκπλήττονται φιλίᾳ τε καὶ οἰκειότητι καὶ ἔρωτι.* Pol. IV. 442. C: *τῇ φιλίᾳ καὶ ξυμφωνίᾳ.* Phaedr. 237. C: *πότερον ἐρῶντι ἢ μὴ μᾶλλον εἰς φιλίαν ἰτέον.* 255. E: *καλεῖ δὲ αὐτὸν καὶ ἴεται οὐκ ἔρωτα, ἀλλὰ φιλίαν εἶναι.* Gorg. 508. A: *καὶ*

θεοὺς καὶ ἀνθρώπους τὴν κοινωνίαν συνέχειν καὶ φιλίαν cet. Conv. 184. B: *γενναίαν φιλίαν.* 185. A: *ὡς ἀμείνων ἐσόμενος διὰ τὴν φιλίαν τοῦ ἐραστοῦ.* 209. C: *φιλίαν βεβαιοτέραν.* Pol. I. 351. D: *ἡ … δικαιοσύνη ὁμόνοιαν καὶ φιλίαν (παρέχει).* III. 401. D: *εἰς ὁμοιότητά τε καὶ φιλίαν καὶ ξυμφωνίαν τῷ καλῷ λόγῳ ἄγουσα.* Legg. III. 699. C: *ταῦτ᾽ οὖν αὐτοῖς πάντα φιλίαν ἀλλήλων ἐνεποίει.* VI. 759. B: *μιγνύντας πρὸς φιλίαν ἀλλήλοις δῆμον* cet. VII. 823. B: *πολλὴ … καὶ ἡ κατὰ φιλίαν θηρεύουσα (θήρα).* IX. 862. D: *ἐκ διαφορᾶς εἰς φιλίαν … καθιστάναι τοὺς νόμους.* Epin. 976. B: *οὐδὲ γὰρ ἂν εἰδείη τις πνεύματος ὀργὴν οὐδὲ φιλίαν.* Lys. 214. D: *ὁ … κακὸς οὔτ᾽ ἀγαθῷ οὔτε κακῷ οὐδέποτε εἰς ἀληθῆ φιλίαν ἔρχεται.* Clit. 409. E: *τὴν … ὄντως καὶ ἀληθῶς φιλίαν εἶναι σαφέστατα ὁμόνοιαν.* Ep. VII. 328. D: *εἰς φιλίαν τε καὶ ἑταιρείαν ἀλλήλοις καθιστάναι.* Lys. 220. B: *εἰς ὃ πᾶσαι αὗται αἱ λεγόμεναι φιλίαι τελευτῶσιν.* Legg. VI. 776. A: *ἐν … ταῖς φιλίαις ἐὰν … πόθος ἐνῇ τις, κολλᾷ καὶ συνδεῖ πάντα ἤθη.* Conv. 182. C: *οὐδὲ φιλίας ἰσχυρὰς καὶ κοινωνίας (ἐγγίγνεσθαι).* Clit. 409. D: *τὰς … τῶν παίδων φιλίας καὶ τὰς τῶν θηρίων … οὐκ ἀπεδέχετο εἶναι φιλίας.* *cupiditas.* Pol. IX. 581. A: *τὴν ἡδονὴν αὐτοῦ καὶ φιλίαν εἰ φαῖμεν εἶναι τοῦ κέρδους.*

φιλικός, ή, όν, amicum decens. Legg. XI. 919. A: *(ὁπόταν) φιλικὰ παράσχῃ ξένια* cet.

φιλικῶς, amice. Gorg. 485. E: *ἐγὼ … πρὸς σὲ ἐπιεικῶς ἔχω φιλικῶς.* Lys. 211. A: *μάλα παιδικῶς καὶ φιλικῶς … σμικρὸν πρός με λέγων ἔφη* cet.

φίλιος, α, ον, amicus; socius; φίλιος etiam dicitur Iupiter amicitiae praeses. Phaedr. 234. E: *εἰπὲ πρὸς Διὸς φιλίου.* Gorg. 500. B: *πρὸς φιλίου.* 519. E: *εἰπὲ πρὸς φιλίου.* Id. Euth. 6. B. De lege 321. C: *φέρε δὴ πρὸς Διὸς φιλίου* cet. Legg. IX. 876. E: *διανοηθεὶς … κτεῖναί τινα φίλιον.* Alc. I. 109. D: *μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν.* Polit. 306. C: *πάντα … ἀλλήλοις τά γε τῆς ἀρετῆς μόρια λέγεταί που φίλια.* Pol. III. 414. B: *τῶν τε ἔξωθεν πολεμίων τῶν τε ἐντὸς φιλίων* (v. *φίλων*). Ion. 535. D: *πλέον ἢ ἐν δυσμυρίοις ἀνθρώποις ἑστηκὼς φιλίοις.* Conv. 221. B: *ἠρέμα παρασκοπῶν καὶ τοὺς φιλίους καὶ τοὺς πολεμίους.* Menex. 243. C: *λυσάμενοι … τοὺς φιλίους.* Phaedr. 279. B: *ἔξωθεν … ὅσα ἔχω τοῖς ἐντὸς εἶναί μοι φίλια.* Legg. III. 698. D: *ἀνάστατα … ἔθνη φίλια πυρὶ καταφθείραντες.*

φιλίως, amice. Legg. VI. 768. E: *ταῦτα ἔτι μᾶλλον ἐκείνων εἴρηκας φιλίως.*

φίλιππος, ὁ ἡ, equos amans. Lys. 212. D: *οὐδ᾽ ἄρα φίλιπποί εἰσιν, οὓς ἂν οἱ ἵπποι μὴ ἀντιφιλῶσιν.*

φιλόγελως, ὁ ἡ, libenter ridens. Pol. III. 388. E: *οὐδὲ φιλογέλωτάς γε δεῖ εἶναι.*

φιλογυμναστία, ἡ, exercitationum vel *palaestrae studium.*

Conv. 182. B: ἥ γε φιλοσοφία καὶ ἡ φιλογυμναστία. 205. D: ἢ κατὰ φιλογυμναστίαν ἢ κατὰ φιλοσοφίαν. Riv. 133. D: οἷον φιλογυμναστίαν οὐ μόνον ἡγεῖ καλὸν εἶναι, ἀλλὰ καὶ ἀγαθόν. E: ἆρ' οὖν καὶ ἐν τοῖς γυμνασίοις τὴν πολυπονίαν φιλογυμναστίαν ἡγεῖ εἶναι;

φιλογυμναστής, ὁ, *palaestrae studiosus.* Pol. VII. 535. D: ὅταν τις φιλογυμναστὴς … καὶ φιλόθηρος ᾖ. VIII. 549. A. Riv. 134. A. Lys. 212. D: φιλογυμνασταί.

φιλογυμναστικός, ή, όν, *ad palaestrae studium propensus* vel *idoneus.* Pol. V. 456. A: ἡ δὲ ἀπόλεμος καὶ οὐ φιλογυμναστική (al. γυμναστική).

φιλογυμναστῶ, *exercitationibus* s. *palaestrae studeo.* Prot. 342. C: φιλογυμναστοῦσι. Pol. V. 452. B: ὅταν ῥυσοὶ καὶ μὴ ἡδεῖς τὴν ὄψιν ὅμως φιλογυμναστῶσι. Prot. 342. E: φιλογυμναστεῖν. Riv. 133. E: τοὺς φιλογυμναστοῦντας.

φιλογύναικες, οἱ, *mulierosi.* Conv. 191. D: φιλογύναικές τ' εἰσι cet.

φιλόδοξος, ὁ ἡ, *gloriae cupidus.* Pol. V. 480: φιλοδόξους καλοῦντες αὐτοὺς μᾶλλον ἢ φιλοσόφους. Ib. φιλοσόφους, ἀλλ' οὐ φιλοδόξους κλητέον.

φιλόδωρος, ὁ ἡ, *libenter largiens.* Conv. 197. D: φιλόδωρος εὐμενείας.

φιλοδώρως, *liberaliter.* Theaet. 146. D: γενναίως γε καὶ φιλοδώρως … ἓν αἰτηθεὶς πολλὰ δίδως cet.

φιλοθεάμων, ὁ ἡ, *spectandi cupidus.* Pol. V. 475. D: οἱ … φιλοθεάμονες. 476. B: οἱ … φιλήκοοι καὶ φιλοθεάμονες. 475. E: τοὺς τῆς ἀληθείας … φιλοθεάμονας. 476. A.

φιλόθηρος, ὁ ἡ, *venationis studiosus.* Pol. VII. 535. D. VIII. 549. A.

φιλοικτίρμων, ὁ ἡ, *misericors.* Menex. 244. E: ὡς ἀεὶ λίαν φιλοικτίρμων ἐστί (ἡ πόλις).

φίλοινος, ὁ ἡ, *vinosus.* Lys. 212. D: φίλοινοι. Pol. V. 475. A: τοὺς φιλοίνους οὐ τὰ αὐτὰ ταῦτα ποιοῦντας ὁρᾷς, πάντα οἶνον ἐπὶ πάσης προφάσεως ἀσπαζομένους;

φιλόκαλος, ὁ ἡ, *pulchri* et *honesti amans.* Phaedr. 248. D: φιλοσόφου ἢ φιλοκάλου. Critia 111. E: φιλοκάλων … καὶ εὐφυῶν (γεωργῶν).

φιλοκέρδεια, ἡ, *lucri cupiditas.* Legg. I. 649. D.

φιλοκερδής, ὁ ἡ, *lucri cupidus.* Pol. IX. 582. A: ὁ φιλοκερδής. E. D: τοῦ φιλοκερδοῦς. 583. A. 582. B: τῷ … φιλοκερδεῖ. De lucri cup. 225. B: τὸν φιλοκερδῆ. C. Pol. IX. 581. A: καλοῦντες αὐτὸ φιλοχρήματον καὶ φιλοκερδὲς ὀρθῶς ἂν καλοῦμεν. C. 586. D. De lucri cup. init. τίνες οἱ φιλοκερδεῖς; 226. E: ἄλλο τι οὖν οἵ γε φιλοκερδεῖς φιλοῦσι τὸ κέρδος; 225. A: ἀνοήτους λέγεις τοὺς φιλοκερδεῖς. 227. B.

φιλοκερδῶ, *lucrum facere cupio.* De lucri cup. 226. E: οἳ … φιλοκερδοῦσιν. 225. B: φιλοκερδεῖν.

φιλοκύων, ὁ ἡ, *canes amans.* Lys. 212. D: *φιλόκυνες.*

φιλολογία, ἡ, *colloquendi* vel *disputandi cupiditas.* Theaet. 146. A: *ἐγὼ ὑπὸ φιλολογίας ἀγροικίζομαι.*

φιλόλογος, ὁ ἡ, *dicendi cupidus, disputandi studiosus.* Theaet. 161. A: *φιλόλογός* (al. *φιλολόγος*) *γ' εἶ ἀτεχνῶς καὶ χρηστός.* Pol. IX. 582. E: *ἀνάγκη ... ἃ ὁ φιλόσοφός τε καὶ ὁ φιλόλογος ἐπαινεῖ, ἀληθέστατα εἶναι.* Legg. I. 641. E: *ὡς φιλόλογός* (v. *φιλολόγος*) *τέ ἐστι καὶ πολυλόγος* (*ἡ πόλις*). Lach. 188. C: *καὶ γὰρ ἂν δόξαιμί τῳ φιλόλογος εἶναι καὶ αὖ μισόλογος* (v. *φιλολόγος — μισολόγος*). Phaedr. 236. E: *ἀνδρὶ φιλολόγῳ.* Lach. 188. E: *φιλόλογον* (v. *φιλολόγον*).

φιλομάθεια, ἡ, *discendi amor.* Pol. VI. 499. E: *ἀπολυόμενος τὴν τῆς φιλομαθείας διαβολήν.* Tim. 90. B: *τῷ ... περὶ φιλομάθειαν ... ἐσπουδακότι.*

φιλομαθής, ὁ ἡ, *discendi cupidus; cognitionis appetens.* Phaedr. 230. D: *φιλομαθὴς γάρ εἰμι.* Pol. VI. 490. A: *ὄγε ὄντως φιλομαθής.* VII. 535. D. Epin. 989. C. Pol. II. 376. B: *τό γε φιλομαθὲς καὶ φιλόσοφον ταὐτόν.* 411. D: *εἴ τι καὶ ἐνῆν αὐτοῦ φιλομαθὲς ἐν τῇ ψυχῇ.* 376. C: *φιλόσοφον καὶ φιλομαθῆ αὐτὸν δεῖν εἶναι.* V. 475. C. VI. 485. D: *τὸν ... τῷ ὄντι φιλομαθῆ πάσης ἀληθείας δεῖ εὐθὺς ἐκ νέου ὅτι μάλιστα ὀρέγεσθαι.* IV. 435. E: *τὸ φιλομαθές.* IX. 581. B. Phaed. 82. D: *γιγνώσκουσι ... οἱ φιλομαθεῖς ὅτι* cet. 83. E: *οἱ δικαίως φιλομαθεῖς.* 67. B: *τοὺς ὀρθῶς φιλομαθεῖς.*

φιλομαθῶ, *discere cupio.* Legg. VII. 810. A: *μηδ' αὐτῷ φιλομαθοῦντι μηδὲ μισοῦντι.*

φιλομαντευτής, ὁ, *vaticinationum amans.* Legg. VII. 813. D: *τοὺς σφόδρα φιλομαντευτὰς σεβόμενοι.*

φιλόμουσος, ὁ ἡ, *Musarum* (h. e. artium liberalium s. humanitatis) *studiosus.* Phaedr. 259. B: *φιλόμουσον ἄνδρα.* Pol. VIII. 548. E: *φιλόμουσον ... καὶ φιλήκοον.*

φιλόμωμος, ὁ ἡ, *vituperandi cupidus.* Prot. 346. C. (Simon.).

φιλονεικία, ἡ, *certandi* vel *contentionis studium; contentio, aemulatio.* Legg. VIII. 834. C: *ἔστω ... τούτων ... αὐτῶν ... ἅμιλλά τε καὶ φιλονεικία.* Lach. 194. A: *ἀλλά τίς με καὶ φιλονεικία εἴληφε πρὸς τὰ εἰρημένα.* Polit. 294. D: *φιλονεικίας ἕνεκα.* Parm. 128. E. Pol. VIII. 548. D: *ἕνεκα γε φιλονεικίας.* Tim. 88. A: *δι' ἐρίδων καὶ φιλονεικίας* (sic Par. A. c. al. Vulg. *φιλονεικιῶν*) *γιγνομένων.* Legg. VII. 796. A: *φιλονεικίας ἀχρήστου χάριν.* IX. 860. D: *φιλονεικίας ἢ φιλοτιμίας ἕνεκα.* Menex. 243. B: *τὸ εἰς τοσοῦτον φιλονεικίας ἐλθεῖν πρὸς τὴν πόλιν τοὺς ἄλλους Ἕλληνας ὥστε* cet. Lys. 215. D: *φθόνου τε καὶ φιλονεικίας καὶ ἔχθρας ἐμπίπλασθαι.* Gorg. 515. B: *ἀλλ' οὐ φιλονεικίᾳ γε ἐρωτῶ.* Legg. XI. 938. C: *ἐάν τις φιλονεικίᾳ κριθῇ δὶς τὸ τοιοῦτον δρᾶν, τεθνάτω.* Parm. 128. D: *διὰ τοιαύτην ... φιλονεικίαν*

ὑπὸ νέου ὄντος ἐμοῦ ἐγράφη. Pol. VIII. 555. A: ξυμπαρακαλεῖν ἐπὶ ξυμμαχίαν τε καὶ φιλονεικίαν. IX. 586. C: βίᾳ διὰ φιλονεικίαν. Legg. X. 907. B: διὰ φιλονεικίαν τῶν κακῶν ἀνθρώπων. Alc. I. 122. C: (εἰς) φιλονεικίαν καὶ φιλοτιμίας τὰς Λακεδαιμονίων. Pol. VIII. 548. C: φιλονεικίαι καὶ φιλοτιμίαι. Tim. 90. B: τῷ ... περὶ τὰς ἐπιθυμίας ἢ φιλονεικίας τετευτακότι. Legg. III. 677. B.

φιλόνεικος, ὁ ἡ, promtus ad contendendum vel *certandum.* Prot. 336. E: Ἀλκιβιάδης δὲ ἀεὶ φιλόνεικός ἐστι πρὸς ὃ ἂν ὁρμήσῃ. Gorg. 515. B: φιλόνεικος εἶ. C. Pol. IX. 582. E: ὁ φιλότιμός τε καὶ ὁ φιλόνεικος (v. φιλ.). VIII. 550. B: τὴν ἐν αὑτῷ ἀρχὴν παρέδωκε τῷ ... φιλονείκῳ καὶ θυμοειδεῖ. 545. A: τὸν φιλόνεικόν τε καὶ φιλότιμον. IX. 581. C: εἰ ... φιλόνεικον αὐτὸ καὶ φιλότιμον προσαγορεύομεν, ἢ ἐμμελῶς ἂν ἔχοι; 586. D. Tim. 70. A: τὸ μετέχον ... τῆς ψυχῆς ἀνδρείας καὶ θυμοῦ, φιλόνεικον ὄν. Pol. VIII. 551. A: ἀντὶ ... φιλονείκων καὶ φιλοτίμων ἀνδρῶν ... φιλοχρήματοι τελευτῶντες ἐγένοντο.

φιλονεικῶ, ambitiose contendo et simpl. *contendo; contente dico.* Phil. 14. B: νῦν γὰρ οὐ δήπου πρός γε αὐτὸ τοῦτο φιλονεικοῦμεν ὅπως cet. Legg. V. 731. A: φιλονεικείτω ... ἡμῖν πᾶς πρὸς ἀρετὴν ἀφθόνως. Phil. 50. B: εἰ καί τις φιλονεικοῖ πάνυ πρὸς τἀναντία. Prot. 360. E: φιλονεικεῖν μοι ... δοκεῖς ... τὸ ἐμὲ εἶναι τὸν ἀποκρινόμενον. Pol. I. 338. A: προσεποιεῖτο ... φιλονεικεῖν πρὸς τὸ ἐμὲ εἶναι τὸν ἀποκρινόμενον. Legg. VII. 820. C: φιλονεικεῖν ἐν ταῖς τούτων ἀξίαισι σχολαῖς. Riv. 134. C. Pol. VI. 499. E: ἐὰν αὐτοῖς μὴ φιλονεικῶν, ἀλλὰ παραμυθούμενος ... ἐνδεικνύῃ cet. Gorg. 457. E: οὐ πρὸς τὸ πρᾶγμα φιλονεικοῦντα λέγειν τοῦ καταφανὲς γενέσθαι, ἀλλὰ πρὸς σέ. D: φιλονεικοῦντας, ἀλλ' οὐ ζητοῦντας τὸ προκείμενον ἐν τῷ λόγῳ. Ep. VII. 330. A: θαυμαστῶς ἐφιλονείκει πρὸς τὸ τοιοῦτον. Legg. XI. 933. C: ἢ μηδέποτ' ἀριστείων πέρι φιλονεικήσῃ. X. 907. E: τούτου γε μὴν ἕνεκα ... πεφιλονείκηνται (οἱ λόγοι), μὴ cet.

φιλονείκως, cum v. *ἔχειν contendere.* Gorg. 505. E: χρῆναι πάντας ἡμᾶς φιλονείκως ἔχειν πρὸς τὸ εἰδέναι τὸ ἀληθὲς cet. Phaed. 91. A: οὐ φιλοσόφως ἔχειν, ἀλλ' ὥσπερ οἱ πάνυ ἀπαίδευτοι φιλονείκως (ubi est vern. *rechthaberisch*).

φιλοξενία, ἡ, hospitalitas. Legg. XII. 953. A: καταλύσεις ... φιλοξενίαις ἀνθρώπων παρεσκευασμένας.

φιλοπαίγμων, vid. seq.

φιλοπαίσμων, ὁ ἡ, ioci amans. Pol. V. 452. E: εἴτε τις φιλοπαίσμων (v. φιλοπαίγμων) εἴτε σπουδαστικὸς ἐθέλει ἀμφισβητῆσαι. Crat. 406. C: φιλοπαίσμονες (v. φιλοπαίγμονες) γὰρ καὶ οἱ θεοί.

φιλόπαις, ὁ, puerorum amator. Pol. V. 474. D: τὸν φιλόπαιδα καὶ ἐρωτικόν.

φιλοποιητής, ὁ, poëtarum amicus. Pol. X. 607. D: ὅσοι μὴ ποιητικοί, φιλοποιηταὶ δέ.

φιλοπόλεμος, ὁ ἡ, belli amans. Tim. 24. D: ἅτ' οὖν φιλοπόλεμός τε καὶ φιλόσοφος ἡ θεὸς οὖσα.

φιλόπολις, ὁ ἡ, civitatis amans vel *studiosus.* Legg. III. 694. C: στρατηγόν τε ἀγαθὸν ... καὶ φιλόπολιν. Apol. 24. B: τὸν ἀγαθόν τε καὶ φιλόπολιν. Pol. V. 470. D: οὐδέτεροι αὐτῶν φιλοπόλιδες. VI. 502. E: δεῖν αὐτοὺς φιλοπόλιδας ... φαίνεσθαι.

φιλοπονία, ἡ, laborum toleratio. Def. 412. C: φιλ. ἕξις ἀποτελεστικὴ οὗ ἂν προέληται. Pol. VII. 535. C: φιλοπονίᾳ οὐ χωλὸν δεῖ εἶναι τὸν ἁψόμενον. D: χωλὸς δὲ καὶ ὁ τἀναντία τούτου μεταβεβληκὼς τὴν φιλοπονίαν. Alc. I. 122. C: (εἰς) καρτερίαν καὶ φιλοπονίαν.

φιλόπονος, ὁ ἡ, laborum amans vel *patiens.* Phaedr. 248. D: εἰς φιλοπόνου γυμναστικοῦ (γονὴν φυτεῦσαι). Legg. VII. 824: ἀλλ' οὐ φιλοπόνου ψυχῆς νίκῃ χειρουμένων τὴν ἄγριον τῶν θηρίων ῥώμην. Pol. VII. 535. C: ἄῤῥατον καὶ πάντῃ φιλόπονον ζητητέον. D: τὰ μὲν ἡμίσεα φιλόπονον, τὰ δὲ ἡμίσεα ἄπονον.

φιλοπονῶ, libenter laboro vel *tolero.* Phil. VII. 535. D: ὅταν τις ... πάντα τὰ διὰ τοῦ σώματος φιλοπονῇ.

φιλοποσία, ἡ, vinolentia. Phaed. 81. E: τοὺς ... ὕβρεις καὶ φιλοποσίας (v. φιλοτησίας) μεμελετηκότας.

φιλοπραγμοσύνη, ἡ, negotiorum cupiditas. Pol. VIII. 549. C: φεύγοντος τάς τε τιμὰς καὶ ἀρχὰς καὶ δίκας καὶ τὴν τοιαύτην πᾶσαν φιλοπραγμοσύνην.

φιλόρτυξ, ὁ ἡ, coturnicum amans. Lys. 212. D: οὐδὲ φιλόρτυγες.

φίλος, η, ον, amicus; carus; etiam *cupidus;* neutr. *amicum,* h. e. *commodum, placet.* Gorg. 447. B: φίλος γάρ μοι Γοργίας. 510. B: φίλος ... ὁ ὅμοιος τῷ ὁμοίῳ. Phil. 25. B: δοκεῖ τις ... αὐτῶν φίλος ἡμῖν νῦν δὴ γεγονέναι. Pol. VI. 487. A: φίλος τε καὶ ξυγγενὴς ἀληθείας cet. Tim. 20. E: ἦν ... οἰκεῖος καὶ σφόδρα φίλος ἡμῖν Δρωπίδου τοῦ προπάππου. 53. D: ὃς ἂν ἐκείνῳ (τῷ θεῷ) φίλος ᾖ. Lys. 212. A: πότερος ποτέρου φίλος γίγνεται, ὁ φιλῶν τοῦ φιλουμένου, ἢ ὁ φιλούμενος τοῦ φιλοῦντος; Legg. III. 701. D; ἑαυτῇ φίλη (ἡ πόλις). IV. 716. C: τίς ... πρᾶξις φίλη καὶ ἀκόλουθος θεῷ; Prot. 353. B: εἴ σοι φίλον. Phaedr. 246. D: ὅπῃ τῷ θεῷ φίλον. Phaed. 116. A: ὅπως ἄν σοι φίλον ᾖ. Theaet. 162. B: εἰ οὕτως ... σοὶ φίλον, οὐδ' ἐμοὶ ἐχθρόν. Phil. 12. C: ὅπῃ ἐκείνῃ φίλον. Pol. VI. 506. E: εἰ καὶ ὑμῖν φίλον. Legg. I. 642. D: τοσαῦτα ὁπόσα σοι φίλον (λέγειν). X. 886. D: ὅπῃ θεοῖσι φίλον. Apol. 19. A. al. Tim. 88. E: φίλον παρὰ φίλον τεθὲν ὑγίειαν ἀπεργαζόμενον παρέξει. Legg. II. 669. E: πᾶν ὁπόσον ... φωνῆς θηριώδους σφόδρα φίλον. V. 730. C: ὁ δὲ ἄπιστος, ᾧ φίλον ψεῦδος ἑκούσιον.

Pol. IX. 574. B: *ἕνεκα νεωστὶ φίλης καὶ οὐκ ἀναγκαίας ἑταίρας γεγονυίας.* Phaedr. 255. B: *κακὸν κακῷ φίλον (εἶναι).* Ib. *ἀγαθὸν μὴ φίλον ἀγαθῷ εἶναι.* Pol. II. 376. B: *ἣ ... ὄψιν οὐδενὶ ἄλλῳ φίλην καὶ ἐχθρὰν διακρίνει, ἢ τῷ* cet. III. 404. D: *Κορινθίαν κόρην φίλην εἶναι ἀνδράσι μέλλουσιν εὖ σώματος ἕξειν.* IX. 575. D: *τὴν πάλαι φίλην μητρίδα τε ... καὶ πατρίδα.* Legg. III. 693. B: *ἑαυτῇ φίλην (τὴν πόλιν).* Soph. 242. E: *τοτὲ μὲν ἓν εἶναί φασι τὸ πᾶν καὶ φίλον ὑπ' Ἀφροδίτης* cet. Pol. X. 604. D: *δειλίας φίλον.* Legg. III. 697. D: *ὅτι ... τὸ φίλον ἀπώλεσαν καὶ τὸ κοινὸν ἐν τῇ πόλει.* V. 739. B: *εἴ τις ἄλλος ἂν ... ἐθελήσειεν ... ἀπονείμασθαι τὸ φίλον αὑτῷ τῆς αὑτοῦ πατρίδος.* Pol. I. 336. E: *οἴου γε σύ, ὦ φίλε.* V. 473. D: *ὦ φίλε Γλαύκων.* al. Lys. 207. C: *φίλω γάρ ἐστον.* Conv. 193. B: *φίλοι ... γενόμενοι ... τῷ θεῷ.* Pol. X. 621. C: *ἵνα καὶ ἡμῖν αὐτοῖς φίλοι ὦμεν καὶ τοῖς θεοῖς.* Menex. 247. B: *φίλοι παρὰ φίλους ἡμᾶς ἀφίξεσθε.* Soph. 242. D: *φίλα γιγνόμενα.* Tim. 65. E: *φίλα μᾶλλον ἡμῖν φαντάζεται.* Phaedr. ad fin. *κοινὰ γὰρ τὰ τῶν φίλων.* Pol. IV. 424. A: *κοινὰ τὰ φίλων ποιεῖσθαι.* V. 449. C: *ὅτι κοινὰ τὰ φίλων ἔσται.* Legg. V. 739. C. Lys. 207. C. Pol. I. 332. A: *τοῖς ... φίλοις οἴεται ὀφείλειν τοὺς φίλους ἀγαθὸν ... τι δρᾶν.* D: *ἡ τοῖς φίλοις τε καὶ ἐχθροῖς ὠφελείας τε καὶ βλάβας ἀποδιδοῦσα.* Prot. 313. A: *εἰς συμβουλὴν τούς τε φίλους ἂν παρεκάλεις καὶ τοὺς οἰκείους.* Soph. 248. A: *τοὺς τῶν εἰδῶν φίλους.* Pol. I. 328. D: *ὡς παρὰ φίλους τε καὶ πάνυ οἰκείους.* IX. 589. B: *φίλα ποιησάμενος ἀλλήλοις τε καὶ αὑτῷ.* Legg. IX. 873. C: *τὸν ... πάντων οἰκειότατον καὶ λεγόμενον φίλτατον ὃς ἂν ἀποκτείνῃ, τί χρὴ πάσχειν; λέγω δὲ ὃς ἂν ἑαυτὸν κτείνῃ* cet. Crat. 434. E: *ὦ φίλτατε.* Conv. 173. D. Plur. *τὰ φίλτατα* designat eos qui nobis carissimi sunt (ut parentes, ut liberi al.), et id quod plurimi facimus vel quod praestantissimum est (ut virtus). Prot. 313. E: *μὴ περὶ τοῖς φιλτάτοις κυβεύῃς τε καὶ κινδυνεύῃς.* Gorg. 513. A: *σὺν τοῖς φιλτάτοις* (i. e. cum damno virtutis) *ἡ αἵρεσις ἡμῖν ἔσται ταύτης τῆς δυνάμεως τῆς ἐν τῇ πόλει.* Legg. I. 650. A: *οὕτως ἐν τοῖς φιλτάτοις κινδυνεύσαντα.*

φιλόσιτος, ὁ ἡ, cibi appetens. Pol. V. 475. C: *οὔτ' ἐπιθυμεῖν σιτίων οὐδὲ φιλόσιτον, ἀλλὰ κακόσιτον εἶναι.*

φιλοσοφία, ἡ, philosophia; etiam *discendi studium* vel *cupiditas.* Phaedr. 239. B: *τοῦτο δὲ ἡ θεία φιλοσοφία τυγχάνει ὄν.* Gorg. 484. C: *φιλοσοφία γάρ τοί ἐστιν ... χαρίεν, ἄν τις αὐτῆς μετρίως ἅψηται ἐν τῇ ἡλικίᾳ.* Pol. V. 473. D: *(ἐὰν) τοῦτο εἰς ταὐτὸν ξυμπέσῃ, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία.* Euthyd. 288. D: *ἡ ... φιλοσοφία κτῆσις ἐπιστήμης.* Locr. 104. A: *μωσικὰ ... καὶ ἁ ταύτας ἁγεμὼν φιλοσοφία, ἐπὶ τᾷ τᾶς ψυχᾶς ἐπανορθώσει ταχθεῖσαι ὑπὸ θεῶν τε καὶ νόμων* cet. Def. 414. B: *φιλ. τῆς τῶν ὄντων ἀεὶ*

ἐπιστήμης ὄρεξις. Phaed. 61. A: ὡς φιλοσοφίας ... οὔσης μεγίστης μουσικῆς. Pol. VII. 521. B: τὸν (βίον) τῆς ἀληθινῆς φιλοσοφίας. Tim. 47. A: ἐξ ὧν ἐπορισάμεθα φιλοσοφίας γένος, οὗ μεῖζον ἀγαθὸν οὔτ' ἦλθεν οὔθ' ἥξει ποτὲ τῷ θνητῷ γένει δωρηθὲν ἐκ θεῶν. Phaed. 68. C: (τοῖς) ἐν φιλοσοφίᾳ ζῶσιν. Tim. 88. C: μουσικῇ καὶ πάσῃ φιλοσοφίᾳ προσχρώμενον. Lys. 213. D: ἐκείνου ἥσθεὶς τῇ φιλοσοφίᾳ. Prot. 335. D: ἀεὶ ... ἔγωγέ σου τὴν φιλοσοφίαν ἄγαμαι. Gorg. 482. A: τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά. Pol. VII. 521. C: ψυχῆς περιαγωγὴ ... εἰς ἀληθινὴν τοῦ ὄντος οὖσαν ἐπάνοδον, ἣν δὴ φιλοσοφίαν ἀληθῆ φήσομεν εἶναι. Ep. VII. 326. A: ἐπαινῶν τὴν ὀρθὴν φιλοσοφίαν. X. 358. C: τὸ γὰρ βέβαιον καὶ πιστὸν καὶ ὑγιές, τοῦτο ἐγώ φημι εἶναι τὴν ἀληθινὴν φιλοσοφίαν. Theaet. 172. C: οἱ ἐν ταῖς φιλοσοφίαις πολὺν χρόνον διατρίψαντες.

φιλόσοφος, ὁ ἡ, *philosophus*, h. e. *sapientiae studiosus* s. *appetens*; adiect. (ut Lat. *philosophus*) absol. et c. art. etiam substantivi partes agit. Phaed. 64. E: ὅ γε ὡς ἀληθῶς φιλόσοφος. 68. B: ὅτι οὐκ ἄρ' ἦν φιλόσοφος. Pol. II. 375. E: πρὸς τῷ θυμοειδεῖ ἔτι προσγενέσθαι φιλόσοφος τὴν φύσιν. III. 410. E: τὸ ἥμερον οὐχ ἡ φιλόσοφος ἂν ἔχοι φύσις —; Tim. 24. D: φιλόσοφος ἡ θεὸς οὖσα. Pol. II. 376. B: ὡς ἀληθῶς φιλόσοφον (τὸ πάθος αὐτοῦ τῆς φύσεως). Ib. τό γε φιλομαθὲς καὶ φιλόσοφον ταὐτόν. VI. 501. E: πρὶν ἂν πόλεως τὸ φιλόσοφον γένος ἐγκρατὲς γένηται. Phaed. 64. D: φαίνεταί σοι φιλοσόφου ἀνδρὸς (nos: *eines Philosophen*) εἶναι ἐσπουδακέναι cet. 65. C: ἡ τοῦ φιλοσόφου ψυχή. Euthyd. 305. C: μεθόρια φιλοσόφου τε ἀνδρὸς καὶ πολιτικοῦ. Conv. 218. B: πάντες γὰρ κεκοινωνήκατε τῆς φιλοσόφου μανίας τε καὶ βακχείας. Pol. VI. 490. C: τὸν ἄλλον τῆς φιλοσόφου φύσεως χορόν. 495. A: αὐτὰ τὰ τῆς φιλοσόφου φύσεως μέρη. VII. 527. B: φιλοσόφου διανοίας. Ep. VII. 329. B: τῆς φιλοσόφου ἀνέγκλητον μοίρας παρέσχον (ἐμαυτόν). 330. B: τῆς φιλοσόφου ζωῆς. Phil. 67: τῶν ἐν μούσῃ φιλοσόφῳ μεμαντευμένων ... λόγων. Pol. VI. 494. A: τίνα ὁρᾷς σωτηρίαν φιλοσόφῳ φύσει —; IX. 586. E: τῷ φιλοσόφῳ ... ἑπομένης ἁπάσης τῆς ψυχῆς cet. Phaedr. 278. D: τὸ δὲ ἢ φιλόσοφον ἢ τοιοῦτόν τι (καλεῖν) μᾶλλόν τε ἂν αὐτῷ ἁρμόττοι cet. Conv. 204. B: φιλόσοφον δὲ ὄντα μεταξὺ εἶναι σοφοῦ καὶ ἀμαθοῦς. Pol. V. 475. B: οὐκοῦν καὶ τὸν φιλόσοφον σοφίας φήσομεν ἐπιθυμητὴν εἶναι ... πάσης; VI. 486. A: φύσιν φιλόσοφον. B: ψυχὴν φιλόσοφον. Tim. 18. A. Pol. III. 411. E: ἐπὶ τὸ θυμοειδὲς καὶ τὸ φιλόσοφον. VI. 494. A: φιλόσοφον μὲν ἄρα ... πλῆθος ἀδύνατον εἶναι. IX. 581. B: φιλομαθὲς ... καὶ φιλόσοφον καλοῦντες αὐτὸ κατὰ τρόπον ἂν καλοῖμεν. Phaed. 64. B: οἱ ὡς ἀληθῶς φιλόσοφοι. Pol. V. 473. C: ἐὰν μὴ ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν cet. VI. 484. B: ἐπειδὴ φιλόσοφοι

... *οἱ τοῦ ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχοντος* **δυνάμενοι ἐφάπτεσθαι** cet. Phaedr. 257. B: *(ἵνα) ἁπλῶς πρὸς Ἔρωτα μετὰ φιλοσόφων λόγων τὸν βίον ποιῆται.* **Pol. VI. 485. A:** *τοῦτο ... τῶν φιλοσόφων φύσεων πέρι ὡμολογήσθω ἡμῖν.* V. 475. E: *ὁμοίους ... φιλοσόφοις.* VI. 486. D: *ἐπιλήσμονα ἄρα ψυχὴν ἐν ταῖς ἱκανῶς φιλοσόφοις μή ποτε ἐγκρίνωμεν.* V. 475. E: *τοὺς δὲ ἀληθινοὺς (φιλοσόφους) ... τίνας λέγεις; Τοὺς τῆς ἀληθείας ... φιλοθεάμονας.* 480: *τοὺς αὐτὸ ἄρα ἕκαστον τὸ ὂν ἀσπαζομένους φιλοσόφους, ἀλλ' οὐ φιλοδόξους κλητέον.* **VI. 498. A:** *οἱ φιλοσοφώτατοι ποιούμενοι.*

φιλοσοφῶ, *philosophor.* Conv. 203. E: *θεῶν οὐδεὶς φιλοσοφεῖ οὐδ' ἐπιθυμεῖ σοφὸς γενέσθαι· ἔστι γάρ.* 204. A: *οὐδ' αὖ οἱ ἀμαθεῖς φιλοσοφοῦσιν οὐδ' ἐπιθυμοῦσι σοφοὶ γενέσθαι.* Lys. 218. B. Ep. XIII. 360. E: *μάνθανε παρ' αὐτοῦ καὶ τἄλλα φιλοσόφει.* Pol. X. 619. D: *εἴ τις ἀεὶ ... ὑγιῶς φιλοσοφοῖ.* Gorg. 484. C: *(ἐὰν) πόῤῥω τῆς ἡλικίας φιλοσοφῇ.* Conv. 173. A: *οἰόμενος δεῖν πάντα μᾶλλον πράττειν ἢ φιλοσοφεῖν.* **Riv. 137. A. Lys. 218. A:** *κακὸν γὰρ καὶ ἀμαθῆ οὐδένα φιλοσοφεῖν.* 203. D: *φιλοσοφῶν διὰ παντὸς τοῦ βίου.* Soph. 253. E: *τῷ καθαρῶς τε καὶ δικαίως φιλοσοφοῦντι.* Apol. 28. E: *φιλοσοφοῦντά με δεῖν ζῆν καὶ ἐξετάζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους.* Phaed. 64. B: *ὅτι τῷ ὄντι οἱ φιλοσοφοῦντες θανατῶσι.* 67. E: *τῷ ὄντι ἄρα ... οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνήσκειν μελετῶσι.* Phil. 56. D: *ἄλλην δ' αὖ (ἀριθμητικὴν) τὴν τῶν φιλοσοφούντων* (oppos. *τῶν πολλῶν*). 57. D: *τὴν τῶν ὄντως φιλοσοφούντων ὁρμήν.* Ep. VII. 326. A: *τὸ τῶν φιλοσοφούντων ὀρθῶς γε καὶ ἀληθῶς γένος.* Riv. 136. A: *τὸν πεφιλοσοφηκότα.* Ep. VII. 326. B: *(πρὶν ἂν) τὸ τῶν δυναστευόντων ἐν ταῖς πόλεσιν (γένος) ... ὄντως φιλοσοφήσῃ.* Pol. V. 473. D: *(ἐὰν μὴ) δυνάσται φιλοσοφήσωσι γνησίως τε καὶ ἱκανῶς.* Phaedr. 249. A: *πλὴν ἡ τοῦ φιλοσοφήσαντος ἀδόλως (ψυχή).* Pol. VI. 495. A: *ἔστιν οὖν ὅπως ὁ τοιοῦτος φιλοσοφήσει;* Riv. 133. C: *τὸν μέλλοντα φιλοσοφήσειν.* Euthyd. 288. D: *φιλοσοφητέον ὡμολογήσαμεν τελευτῶντες.*

φιλοστοργῶ, *tenero amore aliquem amplector.* Legg. XI. 927. B: *τούτοις οἱ παῖδες παίδων φιλοστοργοῦντες ζῶσι μεθ' ἡδονῆς.*

φιλοσώματος, ὁ ἡ, *corpori indulgens.* Phaed. 68. B: *ὅτι οὐκ ἄρ' ἦν φιλόσοφος, ἀλλά τις φιλοσώματος.*

φιλοτεχνία, ἡ, *artium studium.* Critia 109. C: *ἅμα δὲ φιλοσοφίᾳ φιλοτεχνίᾳ τε ἐπὶ τὰ αὐτὰ ἐλθόντες.*

φιλότεχνος, ὁ ἡ, *artium studiosus.* Pol. V. 476. A: *φιλοτέχνους καὶ πρακτικούς.*

φιλοτεχνῶ, *in artes incumbo.* Prot. 321. E: *ἐν ᾧ ἐφιλοτεχνείτην* (Minerva et Vulcanus).

φιλότης, ἡ, *amicitia.* Legg. VI. 757. A: *ὡς ἰσότης φιλότητα ἀπεργάζεται.* Ep. VI. 323. B: *εἰς τὴν προϋπάρχου-*

σαν φιλότητά τε καὶ κοινωνίαν. Voc. ὦ φιλότης, i. q. ὦ φίλε. Phaedr. 228. D.

φιλοτησία, vid. φιλοποσία.

φιλοτιμία, ἡ, *ambitio*, *ambitiosa contentio* vel *appetitio*. Legg. VIII. 834. B: οὔτε τις φιλοτιμία πρὸς ταῦτα οὐδενὶ γίγνοιτ' ἂν λόγον ἔχουσα. Ep. VII. 338. E: ἅμα δ' ἡ φιλοτιμία κατήπειγεν αὐτόν. Phaedr. 257. C: τάχ' οὖν ἂν ὑπὸ φιλοτιμίας ἐπίσχοι ἡμῖν ἂν τοῦ γράφειν. Parm. 128. E. Pol. VIII. 555. A: ἤ τινος νίκης ἢ ἄλλης φιλοτιμίας τῶν καλῶν. X. 620. C: φιλοτιμίας λελωφηκυῖαν. Legg. IX. 860. E. Ep. III. 320. A: οὐκ ἄλλου τινὸς ἕνεκα μᾶλλον ἢ τῆς ἐπὶ τοῖς καλοῖς φιλοτιμίας. VII. 344. E: φιλοτιμίας ... αἰσχρᾶς ... εἴπερ ἕνεκα. Legg. I. 632. C: ἀλλὰ μὴ πλούτῳ μηδὲ φιλοτιμίᾳ (πάντα ταῦτα ξυνδήσας). Conv. 178. D: ἐπὶ ... τοῖς καλοῖς φιλοτιμίαν. Pol. VIII. 553. C. IX. 586. A: φθόνῳ διὰ φιλοτιμίαν. VIII. 548. C: φιλονεικίαι καὶ φιλοτιμίαι. Alc. I. 122. C: φιλοτιμίας τὰς Λακεδαιμονίων.

φιλότιμος, ὁ ἡ, *honoris cupidus*, *ambitiosus*. Prot. 343. C: ἅτε φιλότιμος ὢν ἐπὶ σοφίᾳ. Phaed. 68. C: φιλοχρήματος καὶ φιλότιμος. Pol. VIII. 549. A: φίλαρχος ... καὶ φιλότιμος. 550. B: ἐγένετο ὑψηλόφρων τε καὶ φιλότιμος ἀνήρ. Legg. V. 744. E: φιλότιμος ἐπ' ἀρετῇ. Ep. VII. 338. D: φιλότιμός τε θαυμαστῶς. Legg. VIII. 841. C: τό τε θεοσεβὲς ἅμα καὶ φιλότιμον. Pol. VIII. 553. D: ἐκ φιλοτίμου νέου εἰς φιλοχρήματον (μεταβολή). IX. 582. D. Legg. IX. 870. C: φιλοτίμου ψυχῆς ἕξις. Phaedr. 256. A: φιλοτίμῳ (διαίτῃ). Pol. I. 347. B: τὸ φιλότιμόν τε καὶ φιλάργυρον εἶναι. VIII. 545. A. B: τὴν φιλότιμον σκεπτέον πολιτείαν. Critia 107. A: παραίτησιν εὖ μάλα φιλότιμον. Pol. IX. 581. B: εἰ ... φιλόνεικον αὐτὸ καὶ φιλότιμον προσαγορεύοιμεν, ἦ ἐμμελῶς ἂν ἔχοι; Phaed. 82. C: ὥσπερ οἱ φίλαρχοί τε καὶ φιλότιμοι. Apol. 23. D. Pol. VIII. 551. A: ἀντὶ ... φιλονείκων καὶ φιλοτίμων ἀνδρῶν φιλοχρηματισταὶ ... τελευτῶντες ἐγένοντο. V. 475. A: φιλοτίμους.

φιλοτιμοῦμαι, *ambitiose appeto* et in univ. *aliquid facio, contendo* al.; etiam *glorior*. Pol. I. 336. C: μηδὲ φιλοτιμοῦ ἐλέγχων (*nec ambitiose redargue*). VIII. 553. D: φιλοτιμεῖσθαι μηδ' ἐφ' ἑνὶ ἄλλῳ, ἢ ἐπὶ χρημάτων κτήσει. Phaedr. 232. A: φιλοτιμούμενος ἐνδείκνυσθαι πρὸς ἅπαντας ὅτι cet. Alc. II. 146. A: φιλοτιμούμενον. Conv. 178. E: φιλοτιμούμενοι πρὸς ἀλλήλους. Ep. VII. 338. E: δοκεῖ μοι ... παντάπασι φιλοτιμηθῆναι μή ποτε cet. Lach. 182. B: ταῦτα λαβὼν καὶ φιλοτιμηθεὶς ἐν αὐτοῖς. Phaedr. 234. A: οὐδὲ οἱ διαπραξάμενοι πρὸς τοὺς ἄλλους φιλοτιμήσονται.

φιλοτίμως, *ambitiose*. Riv. 133. A: ἀπεκρίνατό γέ μοι καὶ μάλα φιλοτίμως. Charm. 162. C: φιλοτίμως ... πρὸς τοὺς παρόντας ἔχων.

φιλοφρονοῦμαι, *amice* vel *comiter accipio*, *excipio*, *pro-*

sequor al. Legg. V. 738. D: (ὅπως ἂν) φιλοφρονῶνται … ἀλλήλους μετὰ θυσιῶν. XII. 952. D: τὸν δ' εἰσεπιδημήσαντα … χρὴ φιλοφρονεῖσθαι. Ep. XIII. 360. A: φιλοφρονούμενος εἶπες εὖ τι ῥῆμα ἔχον. Legg. III. 678. E: ἐφιλοφρονοῦντο ἀλλήλους δι' ἐρημίαν. **amplector*. Legg. II. 669. B: ἤθη κακὰ φιλοφρονούμενος. **blandior*, *indulgeo*. Legg. XI. 935. C: πληγαῖς ἐξείργων τοὺς θυμῷ, ἑτέρῳ κακῷ, φιλοφρονουμένους. Etiam res dicitur φιλοφρονεῖσθαι quae *blanditur*, h. e. quae *probatur* vel *placet*. Legg. VII. 820. E: καθάπερ ἐνέχυρα λύσιμα ἐκ τῆς ἄλλης πολιτείας, ἐὰν ἢ τοὺς θέντας ἡμᾶς ἢ καὶ τοὺς θεμένους ὑμᾶς μηδαμῶς φιλοφρονῆται.

φιλοφρόνως, *comiter*. Critia 120. E: πρὸς τὸ ξυγγενὲς θεῖον φιλοφρόνως εἶχον. Legg. VI. 765. A. 771. A: φιλοφρόνως δεχόμενοι. VIII. 835. E: ὁμιλοῦντας φιλοφρόνως ἀλλήλοις. IX. 880. E.

φιλοφροσύνη, ἡ, *benevolentia*. Legg. I. 628. C: εἰρήνη … πρὸς ἀλλήλους ἅμα καὶ φιλοφροσύνῃ. 640. B: φίλων … ἐν εἰρήνῃ πρὸς φίλους κοινωνησόντων φιλοφροσύνης. V. 740. E: διὰ φιλοφροσύνην τὴν τῶν ξυνοικούντων ἀλλήλοις.

φιλοχρηματία, ἡ, *pecuniae cupiditas*. Pol. III. 391. C: ἀνελευθερίαν μετὰ φιλοχρηματίας. Legg. XI. 938. B: εἴτε φιλοχρηματίᾳ δοκεῖ δρᾶν τὸ τοιοῦτον εἴτε φιλονεικίᾳ. V. 747. B: ἐὰν … ἀφαιρῆταί τις τὴν ἀνελευθερίαν καὶ φιλοχρηματίαν ἐκ τῶν ψυχῶν τῶν μελλόντων αὐτὰ … ὀνησίμως κτήσεσθαι.

φιλοχρηματιστής, ὁ, *pecuniae faciendae studiosus*. Pol. VIII. 551. A: ἀντὶ … φιλονείκων καὶ φιλοτίμων ἀνδρῶν φιλοχρηματισταὶ καὶ φιλοχρήματοι τελευτῶντες ἐγένοντο.

φιλοχρήματος, ὁ ἡ, *pecuniae cupidus*, *avidus*; *avarus*. Phaed. 68. C: φιλοχρήματος καὶ φιλότιμος. Pol. VI. 485. E. 486. B: ὁ κόσμιος καὶ μὴ φιλοχρήματος μηδ' ἀνελεύθερος cet. Ep. VII. 335. A: ὧν ὁ φιλοχρήματος πένης τε ἀνὴρ τὴν ψυχὴν οὔτε ἀκούει cet. Pol. V. 469. D: ἀνελεύθερον δὲ οὐ δοκεῖ καὶ φιλοχρήματον νεκρὸν συλᾶν —; VIII. 549. B: τῷ … μετέχειν τῆς τοῦ φιλοχρημάτου φύσεως. Pol. III. 390. E: οὕτω φιλοχρήματον εἶναι ὥστε cet. IV. 436. A: τὸ φιλοχρήματον. VIII. 553. C: τὸ ἐπιθυμητικόν τε καὶ φιλοχρήματον. IX. 580. E. 581. A. Phaed. 82. C: ὥσπερ οἱ πολλοὶ καὶ φιλοχρήματοι. Pol. VIII. 551. A. Legg. VIII. 832. D. Pol. III. 390. D: οὐδὲ φιλοχρημάτους (ἐατέον εἶναι τοὺς ἄνδρας). VIII. 551. E.

φιλοχρηματῶ, *pecuniae cupidus sum*. Legg. V. 737. A: διὰ τοῦ μὴ φιλοχρηματεῖν.

φιλοχρημονῶ, *pecuniae cupiditate teneor*. Legg. V. 729. A: μὴ δή τις φιλοχρημονείτω παίδων γ' ἕνεκα.

φιλοχρημοσύνη, ἡ, *pecuniae cupiditas*. Legg. XI. 938.

C: φιλοχρηματίας ἕνεκα τῆς ἐκ παντὸς τρόπου παρ' αὐτῷ τιμωμένης.

φιλοψευδής, ὁ ἡ, *mendacii amans*. Pol. VI. 485. D: ἦ οὖν δυνατὸν εἶναι τὴν αὐτὴν φύσιν φιλόσοφόν τε καὶ φιλοψευδῆ;

φιλόψογος, ὁ ἡ, *libenter vituperans*. Prot. 346. C: ἐγὼ ... οὐ διὰ ταῦτά σε ψέγω, ὅτι εἰμὶ φιλόψογος.

φιλοψυχία, ἡ, *vitae amor*. Apol. 37. C: πολλὴ μέντ' ἄν με φιλοψυχία ἔχοι, εἰ cet. Legg. XII. 944 E: φιλοψυχίας ἕνεκα, ἵνα τὸν ἐπίλοιπον βίον μὴ κινδυνεύῃ.

φιλοψυχῶ, *vitae amore teneor*. Gorg. 512. E: οὐ φιλοψυχητέον.

φιλῶ, *diligo*. Prot. 335. D: νῦν ἐπαινῶ καὶ φιλῶ. Phaedr. 228. D: ὡς ἐγώ σε πάνυ μὲν φιλῶ cet. Pol. III. 412. D: τοῦτό γ' ἂν μάλιστα φιλοῖ, ᾧ ξυμφέρειν ἡγοῖτο τὰ αὐτὰ καὶ ἑαυτῷ. Lys. 212. A: ἐπειδάν τίς τινα φιλῇ. Phaedr. 231. C: ὅτι τούτους μάλιστά φασι φιλεῖν ὧν ἂν ἐρῶσι. Pol. I. 334. C: εἰκὸς ... οὓς ἄν τις ἡγῆται χρηστούς, φιλεῖν, οὓς δ' ἂν πονηρούς, μισεῖν. V. 479. E: ἀσπάζεσθαί τε καὶ φιλεῖν. 480. X. 607. A. III. 412. D: κήδοιτο δέ γ' ἄν τις μάλιστα τούτου ὃ τυγχάνοι φιλῶν. V. 474. C: οὐ τὸ μὲν φιλοῦντα ἐκείνου, τὸ δὲ μή, ἀλλὰ πᾶν στέργοντα. Lys. 212. B: φιλοῦντες. Legg. IX. 859. B: ἐν πατρός τε καὶ μητρὸς σχήμασι φιλούντων ... φαίνεσθαι τὰ γεγραμμένα, ἢ κατὰ τύραννον καὶ δεσπότην. Lys. 210. C: ἆρ' οὖν ... τις ἡμᾶς φιλήσει ἐν τούτοις ἐν οἷς ἂν ὦμεν ἀνωφελεῖς; Theaet. 168. A: σὲ μὲν διώξονται καὶ φιλήσουσιν, αὑτοὺς δὲ μισήσουσι cet. Pol. X. 600. D: ἐπὶ ταύτῃ τῇ σοφίᾳ οὕτω σφόδρα φιλοῦνται ὥστε cet. Lys. 212. B: ὁ φιλούμενος. Ib. τοῦ φιλουμένου. Legg. V. 731. E: τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον ὁ φιλῶν. Conv. 201. C: ὦ φιλούμενε Ἀγάθων. Phaedr. 253. C: τῷ φιληθέντι. Etiam *concupisco*. De lucri cup. 226. E: ἄλλο τι οὖν οἵ γε φιλοκερδεῖς φιλοῦσι τὸ κέρδος; **osculor*. Phaedr. 256. A: περιβάλλει τὸν ἐραστὴν καὶ φιλεῖ. 255. E: ἅπτεσθαι, φιλεῖν, συγκατακεῖσθαι. Pol. V. 468. C: ὃν ἂν βούληται φιλεῖν. B: τὸ φιλῆσαί τε καὶ φιληθῆναι ὑπὸ ἑκάστου. **amo*, i. e. *soleo*. Phil. 37. B: τῷ ... τρόπῳ δόξα ψευδής τε καὶ ἀληθὴς ἡμῖν φιλεῖ γίγνεσθαι; Conv. 188. C: πᾶσα γὰρ ἡ ἀσέβεια φιλεῖ γίγνεσθαι ἐὰν cet. Pol. V. 467. B: οἷα δὴ ἐν πολέμῳ φιλεῖ. VI. 494. C: φιλεῖ γοῦν ... οὕτω γίγνεσθαι. VI. 497. B. Tim. 89. C: μεγάλα ... νοσήματα φιλεῖ γίγνεσθαι. Legg. IV. 711. A. Menex. 242. A: ὃ δὴ φιλεῖ ἐκ τῶν ἀνθρώπων τοῖς εὖ πράττουσι προσπίπτειν. Conv. 188. B: οἵ τε γὰρ λοιμοὶ φιλοῦσι γίγνεσθαι ἐκ τῶν τοιούτων cet. Pol. VIII. 549. E: ὅσα καὶ οἷα φιλοῦσιν αἱ γυναῖκες περὶ τῶν τοιούτων ὑμνεῖν. 565. E: οἷα δὴ φιλοῦσιν. Legg. VI. 778. A. Lach. 181. E: ἐν οἷς δὴ φιλοῦσιν οἱ νέοι τὰς διατριβὰς ποιεῖσθαι ὅταν σχολὴν ἄγωσιν. Legg.

III. 680. A: *οὔτε πω ἐφίλει κατὰ τούτους τοὺς χρόνους γίγνεσθαι τὸ τοιοῦτον.*

φίλως, adv. Epin. 988. C: *μὴ κατὰ νοῦν τοῖς σώφροσι λέγεσθαι μηδὲ φίλως.*

φίξ, i. q. *σφίγξ.* Crat. 414. D: *ὥσπερ καὶ τὴν σφίγγα ἀντὶ φιγγὸς* (v. *σφιγὸς*) *σφίγγα καλοῦσι.*

φιτύω, *procreo.* Pol. V. 461. A: *ὡς παῖδα φιτύοντος τῇ πόλει ὃς* cet. Critia 116. C: *ἐφίτυσαν ... τὸ τῶν δέκα βασιλειδῶν γένος.* IX. 879. D: *φιτῦσαι καὶ τεκεῖν.*

φλαῦρος, α, ον, (i. q. *φαῦλος*), *malus.* Soph. 227. D: *ὅσον ἂν ᾖ πού τι φλαῦρον.* Tim. 30. A: *φλαῦρον ... μηδὲν εἶναι κατὰ δύναμιν.* Men. 92. C: *εἴτε τι ἀγαθὸν ἔχει ἐν ἑαυτῷ εἴτε φλαῦρον.* De virt. 379. B: *ἵνα μή τι φλαῦρον ἡμῖν πάθοιεν* cet. Ep. VII. 348. D: *μηδὲν ἄλλο αὐτῷ φλαῦρον γίγνεσθαι.* E. XIII. 360. D: *οὐδεὶς οὐδὲν φλαῦρον ἔλεγε τὸν ἄνδρα.* Legg. X. 900. D: *ὁπόσα φλαῦρα.* Epin. 988. D: *τῶν ... φλαύρων* (oppos. *τῶν ἀγαθῶν*). Legg. XII. 955. C: *ἐπὶ ... φλαύροις.* Polit. 273. C: *σμικρὰ μὲν φλαῦρα, μεγάλα δὲ ἐνέκτικεν ἀγαθά.*

φλαύρως, cum v. *ἔχειν*, *male habere* vel *affectum esse.* Soph. 228. B: *τῶν φλαύρως ἐχόντων.*

φλέβιον, τό, *vena.* Tim. 65. C: *εἰσιόντα περὶ τὰ φλέβια.* D. 84. E.

φλέγμα, τό, *pituita.* Pol. VIII. 564. B: *οἷον περὶ σῶμα φλέγμα τε καὶ χολή.* Tim. 83. C: *καλεῖται δὲ ὀξὺ φλέγμα τὸ τοιοῦτον.* 85. A: *τὸ ... λευκὸν φλέγμα.* B: *φλέγμα ... ὀξὺ καὶ ἁλμυρὸν πηγὴ πάντων νοσημάτων ὅσα γίγνεται καταῤῥοϊκά.* Locr. 102. D. Tim. 83. D: *φλέγματος ... νέου ξυνισταμένου.* 84. D. 83. D: *λευκὸν εἶναι φλέγμα φαμέν.* 86. E: *οἱ τῶν ὀξέων καὶ τῶν ἁλυκῶν φλεγμάτων* (*χυμοί*). 82. E: *χολὰς ... καὶ φλέγματα ἴσχει παντοῖα.*

φλεγμαίνω, *inflammatus sum;* in univ. in eo dicitur in quo omnia fervent, dissoluta ac perturbata sunt. Tim. 85. B: *ὅσα δὲ φλεγμαίνειν λέγεται τοῦ σώματος, ἀπὸ τοῦ κάεσθαί τε καὶ φλέγεσθαι διὰ χολὴν γέγονε πάντα.* Phil. 46. D: *ὁπόταν ἐντὸς τὸ ζέον ᾖ καὶ τὸ φλεγμαῖνον.* Pol. II. 372. E: *καὶ φλεγμαίνουσαν πόλιν* (antec. *ὑγιής τις*) *θεωρήσωμεν.* Legg. III. 691. E: *κατιδοῦσα ὑμῶν τὴν ἀρχὴν φλεγμαίνουσαν ἔτι.* Locr. 103. B: *μορφὰς φλεγμαινόντων σωμάτων μᾶλλον ἢ ὑγιαινόντων.*

φλεγματώδης, ὁ, ἡ, *inflammans.* Pol. III. 406. A: *ἃ δὴ δοκεῖ φλεγματώδη εἶναι.*

φλεγμονή, ἡ, *inflammatio.* Ax. 366. A: *νόσους ... καὶ φλεγμονὰς τῶν αἰσθητηρίων.* **furunculus.* 368. C: *τὴν ... χαρὰν ἔχουσα φλεγμονῆς δίκην ἁλλομένην καὶ σφυγματώδη.*

φλέγομαι, *exardesco, flagro* (ut cupiditate). Legg. IV. 716. A: *φλέγεται τὴν ψυχὴν μεθ' ὕβρεως.* Tim. 85. B: *ἀπὸ*

τοῦ κάεσθαί τε καὶ φλέγεσθαι. Charm. 155. D: εἶδόν τε τὰ ἐντὸς τοῦ ἱματίου καὶ ἐφλεγόμην.

φλέψ, *vena*. Tim. 66. D: αἱ περὶ ταῦτα φλέβες. 79. A: τὰ τῶν φλεβῶν ... ῥεύματα. 85. E. Locr. 101. C. Tim. 85. D: ἐν ταῖς φλεψί. 66. A: εἰς ... τὰς στενὰς φλέβας ἐνδυομένων. 77. D. 78. B.

φλοιστικός, ή, όν, *ad decorticandum aptus, pertinens* al., fem. *decorticandi ars*. Polit. 288. D: καὶ ἔτι φλοιστική φυτῶν cet.

φλόξ, ἡ, *flamma*. Tim. 58. C: οἷον φλόξ. Ib. φλογὸς ἀποσβεσθείσης. 67. C: φλόγα τῶν σωμάτων ἑκάστων ἀπορρέουσαν. 83. B: ὑπὸ τοῦ περὶ τὴν φλόγα πυρός. Locr. 99. B.

φλυαρία, ἡ, *nugae, vanitas*; etiam *res nihili* (germ. *Tand*). Gorg. 492. C: ἀνθρώπων φλυαρία καὶ οὐδενὸς ἄξια. Theaet. 162. A: οὐ μακρὰ ... καὶ διωλύγιος φλυαρία —; Pol. I. 336. C: τίς ... ὑμᾶς πάλαι φλυαρία ἔχει; Crit. 46. D: ἦν δὲ παιδιὰ καὶ φλυαρία ὡς ἀληθῶς. Gorg. 470. C: (ἐάν με) ἀπαλλάξῃς φλυαρίας. Phaed. 66. C: εἰδώλων παντοδαπῶν καὶ φλυαρίας ἐμπίπλησιν ἡμᾶς πολλῆς. Conv. 211. E: χρωμάτων καὶ ἄλλης πολλῆς φλυαρίας θνητῆς. Dem. 382. E: ἀπὸ ... τῆς τούτων φλυαρίας ἀτυχία ἐστὶν (τὸ τέλος). Parm. 130. D: εἴς τιν' ἄβυθον φλυαρίαν ἐμπεσών. Pol. IX. 581. D: κενὸν καὶ φλυαρίαν (ἡγεῖται). Apol. 19. C: καὶ ἄλλην πολλὴν φλυαρίαν φλυαροῦντα. Gorg. 519. A: λιμένων ... καὶ φόρων καὶ τοιούτων φλυαριῶν ἐμπεπλήκασι τὴν πόλιν. 486. C: εἴτε ληρήματα χρὴ φάναι εἶναι εἴτε φλυαρίας. 490. C: περὶ σιτία σὺ λέγεις ... καὶ ποτοὺς καὶ φλυαρίας. Pol. VI. 515. D: ὅτι τότε μὲν ἑώρα φλυαρίας cet. Hipp. mai. 304. B: ἵνα μὴ δοκῇ λίαν ἀνόητος εἶναι λήρους καὶ φλυαρίας ὥσπερ νῦν μεταχειριζόμενος.

φλυαρολογία, ἡ, *garrulitas, argutiae*. Ax. 369. D: ἐκεῖθεν γάρ ἐστιν ἥδε ἡ φλυαρολογία πρὸς τὰ μειράκια διακεκοσμημένη.

φλύαρος, ὁ ἡ, *nugatorius, vanus* vel *stultus*. Ax. 369. B: ἐκ συγκλύδων ὄχλου καὶ βιαίων φλυάρων. Subst. φλύαρος, ὁ, *nugae, vanitas*. Ax. 365. E: πάντα ... τὸν τοιόνδε φλύαρον ἀποσκέδασαι.

φλυαρῶ, *nugor, nugas ago, dico quae vana et falsa sunt*. Gorg. 490. E: φλυαρεῖς ἔχων (vid. I. 876.). Euthyd. 295. C: ὅτι ἔχων φλυαρεῖς. Conv. 180. A: Αἰσχύλος ... φλυαρεῖ φάσκων cet. Riv. 132. B: φλυαροῦσι φιλοσοφοῦντες. Pol. I. 337. B: ὡς οὐκ ἀποδέξομαί σου ἐὰν τοιαῦτα φλυαρῇς. Eryx. 397. D: Πρόδικος ... ἐδόκει τοῖς παροῦσι φλυαρεῖν οὕτως ὥστε cet. Gorg. 489. B: οὑτοσὶ ἀνὴρ οὐ παύσεται φλυαρῶν. Apol. 19. C: καὶ ἄλλην πολλὴν φλυαρίαν φλυαροῦντα. Crat. 426. B: ἢ εὖ εἰδέναι ὅτι τά γε ὕστερα ἤδη φλυαρήσει.

φοβερός, ά, όν, *terribilis, horribilis*; *timendus*. Phaed. 67

E: *τὸ τεθνάναι ἥκιστ' αὐτοῖς ἀνθρώπων φοβερόν.* Pol. V. 450. E: *φοβερόν τε καὶ σφαλερόν.* Legg. VI. 780. C: *ὅτι ... τοῦτό ποτε φοβερὸν ἐπιτάξαι τισί.* Ax. 369. C: *τὸ γὰρ φοβερὸν τοῖς οὖσιν ἐστι.* Legg. XI. 922. C: *μεστὸν λόγου τοῖς νομοθέταις εὖ μάλα φοβεροῦ καὶ δυςχεροῦς.* III. 698. D: *καί τινα λόγον εἰς τὴν ἡμετέραν πόλιν ἀφῆκε φοβερόν, ὡς* cet. XII. 959. B: *τῷ ... κακῷ μάλα φοβερόν (λόγον, rationem).* III. 677. E: *μυρίαν μέν τινα φοβερὰν ἐρημίαν* cet. Ion. 535. C: *ὅταν δὲ φοβερὸν ἢ δεινόν (τι λέγω).* Legg. VII. 808. C: *φοβεροὶ ... κακοῖς πολεμίοις τε ἅμα καὶ πολίταις.* XI. 932. A. Prot. 321. D: *πρὸς δὲ καὶ αἱ Διὸς φυλακαὶ φοβεραὶ ἦσαν.* Pol. III. 387. B: *πάντα τὰ δεινά τε καὶ φοβερά.* Phil. 49. B: *φοβεροὺς καὶ ἰσχυρούς (προςαγορεύων).* Phaedr. 268. C: *φοβερὰς καὶ ἀπειλητικάς (ῥήσεις).* Conv. 194. B: *ὅτι νοῦν ἔχοντι ὀλίγοι ἔμφρονες πολλῶν ἀφρόνων φοβερώτεροι.* Gorg. 525. C: *φοβερώτατα πάθη πάσχοντας.* **timidus.* Phil. 32. C: *τὸ ... πρὸ τῶν λυπηρῶν (προςδόκημα) φοβερὸν καὶ ἀλγεινόν.* Legg. I. 647. B: *ἄφοβον ἡμῶν ἄρα δεῖ γίγνεσθαι καὶ φοβερὸν ἕκαστον.* C: *ὅταν ἐπιχειρῶμέν τινα φοβερὸν ποιεῖν μετὰ δίκης.* VII. 791. A: *τὴν ἐντὸς φοβερὰν οὖσαν καὶ μανικὴν κίνησιν.* Pol. III. 413. D: *σκοποῦσιν εἰ φοβεροί (οἱ πῶλοι).* Legg. I. 649. D: *φοβεροὺς ... εἰς τό τι τολμᾶν ἑκάστοτε λέγειν ἢ πάσχειν ἢ καὶ δρᾶν αἰσχρὸν ὁτιοῦν.* **sollicitus.* Theag. 127. B: *καί με πολλῶν καὶ φοβερῶν ἀπαλλάξετε φροντίδων.*

φόβητρον, τό, formido. Ax. 367. A: *τοῖς ὕστερον χαλεποῖς ἐφάνη τὰ πρῶτα παιδικὰ καὶ νηπίων ὡς ἀληθῶς φόβητρα.*

φόβος, ὁ, timor, metus; etiam *terror.* Conv. 193. A: *φόβος οὖν ἔστιν ... ὅπως μὴ καὶ αὖθις διασχισθησόμεθα.* Pol. IV. 430. B: *λύπη τε καὶ φόβος* cet. Legg. I. 644. C: *φόβος ... ἡ πρὸ λύπης ἐλπίς.* 647. B: *θάῤῥος μὲν πολεμίων, φίλων δὲ φόβος αἰσχύνης πέρι κακῆς.* II. 678. C: *πᾶσι φόβος ἔναυλος ἐγεγόνει.* Phil. 12. C: *πέρα τοῦ μεγίστου φόβου.* Pol. IX. 578. A: *φόβου γέμειν.* Ion. 535. C: *ὀρθαὶ αἱ τρίχες ἵστανται ὑπὸ φόβου.* Phaedr. 254. E: *φόβῳ διόλλυται.* Conv. 197. D: *ἐν φόβῳ, ἐν πόθῳ ... κυβερνήτης.* 221. A: *αὐτὸς ... ἧττον ἐν φόβῳ ᾖ.* Pol. VI. 497. D: *φόβῳ ὧν ὑμεῖς ἀντιλαμβανόμενοι δεδηλώκατε μακρὰν ... τὴν ἀπόδειξιν.* VIII. 554. D: *ἀνάγκη καὶ φόβῳ.* IX. 578. E: *ἐν ποίῳ ἄν τινι καὶ ὁπόσῳ φόβῳ οἴει γενέσθαι αὐτὸν περί τε αὐτοῦ καὶ παίδων* cet. Legg. VI. 783. A. Prot. 358. D: *προςδοκίαν τινὰ λέγω κακοῦ τοῦτο, εἴτε φόβον εἴτε δέος καλεῖτε.* Phil. 20. B: *λύει πάντα φόβον ἑκάστων πέρι.* 50. B: *καὶ φόβον καὶ ἔρωτα* cet. Pol. II. 360. D: *διὰ τὸν τοῦ ἀδικεῖσθαι φόβον.* Tim. 69. D: *θάῤῥος καὶ φόβον, ἄφρονε ξυμβούλω.* Legg. I. 647. A: *ὃν ... καλοῦμεν τὸν φόβον ἡμεῖς γε ... αἰσχύνην.* (Cf. II. 671. D.). Menex. 241. B:

ὅτι τὸν ἐχόμενον φόβον διέλυσαν τῶν Ἑλλήνων. Phil. 36. C: φόβοι ... ἀληθεῖς ἢ ψευδεῖς. Conv. 207. E: οἱ τρόποι ... λῦπαι, φόβοι cet. Legg. IX. 870. C: οἱ δειλοὶ καὶ ἄδικοι φόβοι. Polit. 305. D: μήθ' ὑπὸ φόβων. Pol. IX. 579. B: πολλῶν καὶ παντοδαπῶν φόβων καὶ ἐρώτων μέστος. X. 616. A. Legg. I. 635. B: τὸ ... τῶν λυπῶν καὶ φόβων. C: ταὐτὸν πείσονται τοῖς ἡττωμένοις τῶν φόβων. 646. D: δύο φόβων εἴδη. VII. 791. B: ὡς ἅπασα ψυχὴ ... ἐκ νέων μᾶλλον ἂν διὰ φόβων ἐθίζοιτο γίγνεσθαι. X. 906. A: γεωργοῖς περὶ φυτῶν γένεσιν εἰωθυίας ὥρας χαλεπὰς διὰ φόβων προσδεχομένοις. Alc. II. 142. A: διὰ πολλῶν κινδύνων ἐλθόντες καὶ φόβων. Phil. 50. C: τήν γε ἐν τοῖς φόβοις καὶ ἔρωσι ... κρᾶσιν. Pol. IV. 429. D. Legg. I. 632. A. Prot. 360. B: οὐκοῦν ὅλως οἱ ἀνδρεῖοι οὐκ αἰσχροὺς φόβους φοβοῦνται —; Theaet. 173. E: μεγάλους κινδύνους καὶ φόβους ἔτι ἁπαλαῖς ψυχαῖς ἐπιβάλλουσα. Pol. VI. 504. D: ἐν τῷ πολέμῳ πρὸς τοὺς φόβους δυσκίνητα ὄντα (ἤθη). Legg. I. 635. C: ὁπόταν εἰς ἀναγκαίους ἔλθῃ πόνους καὶ φόβους καὶ λύπας. V. 727. D. Charm. 168. A: ὃς (φόβος) ἑαυτὸν μὲν καὶ τοὺς ἄλλους φόβους φοβεῖται cet. Lach. 191. D: μὴ μόνον ὅσοι πρὸς λύπας ἀνδρεῖοί εἰσιν ἢ φόβους, ἀλλὰ καὶ cet. Lenius est *dubitatio*. Phaed. 101. B: ὁ αὐτὸς γάρ που φόβος (nos: *eben so bedenklich*). Soph. 268. A: τὸ ... θατέρου σχῆμα ... ἔχει πολλὴν ὑποψίαν καὶ φόβον, ὡς ἀγνοεῖ ταῦτα ἃ cet.

φοβῶ, *terreo*, *territo*. Theag. 121. C: ἡ δὲ νῦν παροῦσα ἐπιθυμία τούτῳ πάνυ με φοβεῖ. Tim. 71. B: ἵν' ... ἡ ἐκ τοῦ νοῦ φερομένη δύναμις ... φοβοῖ ... αὐτό. Legg. XI. 933. C: μηδέ, καθάπερ παῖδας, τοὺς πολλοὺς τῶν ἀνθρώπων δειμαίνοντας φοβεῖν (δεῖν). Pol. VIII. 551. B: ἢ καὶ πρὸ τούτου φοβήσαντες (*territando*) κατεστήσαντο τὴν τοιαύτην πολιτείαν. Med. *in timore sum*, *timeo*, *reformido*; etiam *vereor*, *dubito*. Gorg. 457. E: φοβοῦμαι οὖν διελέγχειν σε, μή με ὑπολάβῃς ... λέγειν. Soph. 230. E: ἐγὼ ... φοβοῦμαι σοφιστὰς φάναι. 242. A: φοβοῦμαι ... τὰ εἰρημένα μή ποτε cet. Tim. 19. E. Legg. X. 886. A: φοβοῦμαί γε ... τοὺς μοχθηροὺς ... μή πως cet. Theag. 127. C: ὡς νῦν πάνυ φοβοῦμαι ὑπὲρ τούτου μὴ cet. Phil. 16. A: οὐ φοβεῖ μή σοι ... ξυνεπιθώμεθα —; Legg. VII. 818. E. Euth. 4. E. Gorg. 522. E: αὐτὸ ... τὸ ἀποθνήσκειν οὐδεὶς φοβεῖται. Pol. II. 382. A: πάντων μάλιστα φοβεῖται ἐκεῖ αὐτὸ κεκτῆσθαι. Legg. VII. 798. B: σέβεται καὶ φοβεῖται πᾶσα ἡ ψυχὴ τό τι κινεῖν τῶν τότε καθεστώτων. Pol. III. 387. C: ἡμεῖς δὲ ὑπὲρ τῶν φυλάκων φοβούμεθα μὴ cet. Legg. III. 685. C: καθάπερ νῦν τὸν μέγαν βασιλέα φοβούμεθα ἡμεῖς. Euthyd. 275. B: φοβούμεθα ... περὶ αὐτῷ (sic Cl. c. al. Vulgo αὐτοῦ). Prot. 349. E: ἐφ' ἃ οἱ πολλοὶ φοβοῦνται ἰέναι. 360. B: οὐκ αἰσχροὺς φόβους φοβοῦνται. Phaedr. 239. D: τὸ ... τοιοῦτον σῶμα οἱ φίλοι ... φοβοῦνται (*de*

eo solliciti sunt). Crat. 404. C: *πολλοὶ μὲν καὶ τοῦτο φοβοῦνται τὸ ὄνομα* cet. Pol. III. 414. C: *μὴ φοβοῦ.* Legg. XI. 927. A: *τοὺς ἄνω θεοὺς φοβείσθων.* Charm. 172. E: *ὅτι φοβοίμην μὴ* cet. Phaedr. 232. C: *εἰκότως ἂν τοὺς ἐρῶντας μᾶλλον ἂν φοβοῖο.* Conv. 194. A. Gorg. 510. B: *φοβοῖτο ... ἂν αὐτὸν ὁ τύραννος.* Ion. 535. D: *ὃς ἂν ... φοβῆται* cet. Phaedr. 245. B: *ὥστε τοῦτό γε αὐτὸ μὴ φοβώμεθα.* Prot. 360. B: *ὅταν φοβῶνται.* Parm. 137. A: *κἀγώ μοι δοκῶ ... μάλα φοβεῖσθαι.* Pol. VIII. 562. E: *φοβεῖσθαι τοὺς υἱεῖς.* Crit. 47. B. Gorg. 479. A: *φοβούμενος ... τὸ κάεσθαι καὶ τὸ τέμνεσθαι, ὅτι ἀλγεινόν.* Pol. X. 606. C: *φοβούμενος δόξαν βωμολοχίας.* Phaedr. 232. C: *φοβούμενοι τοὺς ... οὐσίαν κεκτημένους μὴ* cet. 257. D: *δόξαν φοβούμενοι τοῦ ἔπειτα χρόνου, μὴ σοφισταὶ καλῶνται.* Pol. I. 344. C: *τὸ πάσχειν φοβούμενοι.* Prot. 316. D: *φοβουμένους τὸ ἐπαχθὲς αὐτῆς* (*τ. σοφιστικῆς τέχνης*). Theaet. 143. E: *ἐφοβούμην ἂν σφόδρα λέγειν, μὴ* cet. Conv. 198. C: *ἐφοβούμην μὴ* cet. Alc. I. 132. B: *ἐφοβούμεθα δὲ μὴ* cet. Euth. 12. B: *ἐπεὶ ἔστιν ὅστις ... οὐ πεφόβηταί τε καὶ δέδοικεν ἅμα δόξαν πονηρίας.* Crat. 403. E: *καὶ τοῦτο πεφόβηνται.* 404. E: *πολλοὶ πεφόβηνται περὶ τὸ ὄνομα τοῦ θεοῦ.* Ep. VII. 349. A. Pol. VI. 503. B: *πεφοβημένου* (*τοῦ λόγου*) *κινεῖν τὸ νῦν παρόν.* III. 387. B: *δουλείαν θανάτου μᾶλλον πεφοβημένους.* Polit. 268. C: *οὐκοῦν ὀρθῶς ... ἐφοβήθημεν ὑποπτεύσαντες μὴ* cet. Soph. 264. B. Epin. 988. A: *τόδε δὲ μηδείς ποτε φοβηθῇ τῶν Ἑλλήνων ὡς οὐ χρὴ* cet. Legg. VIII. 835. D: *εἰσῆλθε δή με ... φοβηθῆναι* cet. Phil. 14. A: *φοβηθεὶς τοῦτ᾽ αὐτό.* Conv. 174. A: *φοβηθεὶς τὸν ὄχλον.* Legg. VII. 804. E: *καὶ οὐδὲν φοβηθεὶς εἴποιμ᾽ ἂν τοῦτον τὸν λόγον οὔτε ἱππικῆς οὔτε γυμναστικῆς.* Apol. 32. C: *φοβηθέντα δεσμὸν ἢ θάνατον.* Prot. 316. E: *φοβηθέντες τὸν φθόνον.* Apol. 29. B: *πρὸ τῶν κακῶν ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ μὴ οἶδα, εἰ ἀγαθὰ ὄντα τυγχάνει, οὐδέποτε φοβήσομαι* (libri aliquot *φοβηθήσομαι*) *οὐδὲ φεύξομαι.* Pol. V. 470. A: *μᾶλλον δὲ καὶ φοβησόμεθα* (sic Par. A. c. al. Vulg. *φοβηθησόμεθα*) *μή τι μίασμα ᾖ* cet. Legg. I. 649. C: *τὸ δὲ τοὐναντίον ὅτι μάλιστα φοβησόμεθα.* Pol. V. 452. B: *οὐκοῦν ... οὐ φοβητέον τὰ τῶν χαριέντων σκώμματα.* Legg. X. 891. A. V. 746. E: *οὐδ᾽ ἐκεῖνα φοβητέα δείσαντα τὴν δόξασαν ἂν γίγνεσθαι σμικρολογίαν.*

φοινήεις, *cruentatus.* Ion. 539. C. (Hom.).

φοινικοῦς, ῆ, οῦν, *puniceus.* Locr. 101. C: *φοινικοῦν* (*χρῶμα*).

φοίτησις, ἡ, *itio, accessus frequens.* Legg. VI. 764. D: *τῶν φοιτήσεών τε πέρι καὶ οἰκήσεων ἀῤῥένων καὶ θηλειῶν κορῶν.* 784. D: *τῶν εἰς τοὺς γάμους ... φοιτήσεων μὴ μετεχέτω.* XII. 949. C: *περὶ ... χορείας τινῶν φοιτήσεων ἢ*

πομπεύσεων cet. 952. D: *ὁ ... διὰ τέλους ἀεὶ θερινὸς ὡς τὰ πολλὰ διατελῶν ταῖς φοιτήσεσι* (*ξένος*).

φοιτητής, ὁ, discipulus. Alc. I. 109. D: *ἵν' αὐτῷ φοιτητὴν προξενήσῃς καὶ ἐμέ.* Euthyd. 295. D: *μή με σκαιὸν ἡγησάμενος φοιτητὴν μὴ προσδέχοιτο.* Pol. VIII. 563. A: *φοιτηταί τε διδασκάλων ὀλιγωροῦσιν.* Ib. *διδάσκαλός τε τῷ τοιούτῳ φοιτητὰς φοβεῖται καὶ θωπεύει.* Legg. VI. 779. D.

φοιτῶ, ito, ventito (praec. de discipulis); etiam simpl. *eo* et *venio.* Alc. I. 121. E: *ἐπὶ τοὺς ἵππους καὶ ἐπὶ τοὺς τούτων διδασκάλους φοιτῶσι.* Pol. I. 328. D: *δεῦρο παρ' ἡμᾶς φοίτα.* Gorg. 523. B: *ὅτι φοιτῷέν σφιν ἄνθρωποι ἑκατέρωσε ἀνάξιοι.* De lucri cup. 228. E. Legg. VII. 817. A: *πότερον φοιτῶμεν ὑμῖν εἰς τὴν πόλιν ... ἢ μή;* Prot. 326. C: *εἰς διδασκάλων ... φοιτᾶν.* Phaed. 59. D: *εἰώθειμεν φοιτᾶν ... παρὰ τὸν Σωκράτη.* Legg. XI. 915. A. Crit. 43. A: *διὰ τὸ πολλάκις δεῦρο φοιτᾶν.* Lach. 181. C. Euthyd. 295. D. Alc. I. 109. D: *φοιτῶν εἰς διδασκάλου.* Eryx. 398. E: *πρὸς τὰς τοῦ γραμματιστοῦ φοιτῶν θύρας.* Legg. VII. 794. B: *φοιτῶσα εἰς τὸ ἱερὸν ἑκάστης ἡμέρας.* Phaed. 60. E: *πολλάκις μοι φοιτῶν τὸ αὐτὸ ἐνύπνιον* cet. Legg. I. 624. A: *ὡς τοῦ Μίνω φοιτῶντος πρὸς τὴν τοῦ πατρὸς ... συνουσίαν δι' ἐνάτου ἔτους.* Prot. 314. D: *ἄχθεσθαι τοῖς φοιτῶσιν εἰς τὴν οἰκίαν.* Pol. III. 416. E: *φοιτῶντας ... εἰς ξυσσίτια.* Legg. VII. 804. D. Conv. 206. B: *οὐ μέντ' ἂν ... ἐφοίτων παρὰ σὲ αὐτὰ ταῦτα μαθησόμενος.* De lege 319. E: *ἐφοίτα ... εἰς τὸ τοῦ Διὸς ἄντρον ὁ Μίνως.* Pol. III. 390. C: *ὅτε τὸ πρῶτον ἐφοίτων πρὸς ἀλλήλους* (ex Hom.). Legg. III. 698. A: *ἀπειλαὶ ἐφοίτων παρὰ βασιλέως μυρίαι.* Ep. VII. 339. D: *ἐπιστολαὶ ... ἐφοίτων παρά τε Ἀρχύτου* cet. Alc. I. 106. E: *ἀλλ' οὐ πεφοίτηκα εἰς ἄλλου ἢ τούτου.* Gorg. 456. D: *εἰς παλαίστραν φοιτήσας.* Theaet. 161. E: *φοιτητέον ἡμῖν ἦν παρ' ἐκεῖνον.*

